www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ

**καὶ**

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ

**Τοῦ Ἁγίου ἐνδόξου**

**Ἱερομάρτυρος**

# ΘΕΡΑΠΟΝΤΟΣ

**τοῦ Θαυματουργοῦ**

ΑΘΗΝΑΙ

www.tezaurliturgic.ro

# Ἀπολυτίκιον τοῦ Ἁγίου

Ἦχος α΄

Ἀσκήσει μὲν τὸ πρῶτον λάμψας Ὅσιε, πάσας δαιμόνων φάλαγγας κατετρόπωσας, ἀθλήσει δὲ τὸ δεύτερον ἀριστεύσας τὰς τῶν τυράννων ἀπειλὰς κατεφρόνησας. Διὸ διπλοῦν παρὰ Θεοῦ στέφος λαβών, συγχαίρεις τῶν ἀγγέλων τοῖς χοροῖς, καὶ τρυφᾷς Θεράπων μάρτυς, σὺν τοῖς ὁσίοις καὶ ἱερομάρτυσι. Δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, Δόξα τῷ σὲ στεφανώσαντι, Δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.

www.tezaurliturgic.ro



www.tezaurliturgic.ro


# ΠΡΟΛΟΓΟΣ

Μὲ τὴν εὐκαιρία τῆς ἐπανεκδόσεως τῆς Ἀκολουθίας καὶ τοῦ Παρακλητικοῦ Κανόνος τοῦ Ἁγίου Θεράποντος, ἀξίζει νὰ σημειωθοῦν καὶ λίγα λόγια γιὰ τὴν ἱστορία τοῦ Ναοῦ τοῦ Ἁγίου στὴν Ἀθήνα.

Ὁ Ἅγιος Θεράπων, Ἐπίσκοπος Κύπρου, τοῦ ὁποίου τὸ ἱερὸ λείψανο μετεφέρθη στὴν Κωνσταντινούπολι, ἐτιμᾶτο πολύ, ὅπως ἦταν φυσικό, στὴν Κύπρο καὶ στὴν Πόλι, ὅπου ὑπάρχουν Ναοὶ στό ὄνομά του. Στὸ Ναὸ μάλιστα τῆς Πόλεως ὑπάρχει καὶ θαυματουργὸ ἁγίασμα. Ὅπως ἀναφέρεται στὸν πρόλογο τῆς πρώτης ἐκδόσεως τῆς Ἀκολουθίας τοῦ Ἁγίου (ἔκδοσις «Συλλόγου τῶν Ὀλυμπίων», Ἀθῆναι 1904), χριστιανοὶ ἀπὸ τὰ Νησιὰ τοῦ Αἰγαίου, τὴν Μυτιλήνη, τὴν Κρήτη καὶ ἰδίως τήν Κύπρο, πού, σὲ χρόνους θρησκευτικῶν διωγμῶν ἦλθαν καὶ ἐγκαταστάθηκαν στὴν Πελοπόννησο καὶ εἰδικώτερα στὴν περιοχὴ τῆς Ὀλυμπίας, ἔφεραν μαζῆ τους καὶ τοὺς «ἐφεσίους» ἁγίους των, μεταξὺ τῶν ὁποίων καὶ τὸν ἅγιον Θεράποντα. Σὲ καιρὸ μάλιστα ἐπιδημίας ποὺ ἐνέσκηψε στὴν Ὀλυμπία οἱ χριστιανοὶ ἐπικαλέσθηκαν τὴν βοήθεια τοῦ Ἁγίου καὶ ἡ ἐπιδημία σταμάτησε. Ἡ εὐγνωμοσύνη τῶν χριστιανῶν Ὀλυμπίων γιὰ τό θαῦμα αὐτὸ ἔκτισε ἕνα Ναὸ τοῦ Ἁγίου στὴν Ἀνδρίτσαινα καὶ ἄλλον μεταξὺ τῶν χωριῶν Μαρίνας, Ἀμπελιώνας καὶ Σκληροῦ, κοντὰ στὸν ἀρχαῖο Ναὸ τοῦ Ἐπικουρίου Ἀπόλλωνος, ποὺ ἦταν ἔργον τοῦ Ἰκτίνου. Καὶ στὴ Γορτυνία ἐπίσης κτίσθηκαν Ναοὶ τοῦ Ἁγίου, κοντὰ στὰ χωριὰ Βελιμάχι καὶ Βοῦτσι, σὲ δασώδη περιοχή, ὅπου ὑπῆρχε τὸ ἀρχαῖο ἱερὸ ἰατρεῖο τοῦ Ἀσκληπιοῦ (Ἀρκαδικὴ ἐπετηρὶς 1903 σελ. 181).

Τὸ 1888 οἱ ἐν Ἀθήναις Ὀλύμπιοι ἵδρυσαν τὸν ὁμώνυμο Σύλλογό τους καὶ τὸ 1903 ἀπεφάσισαν νὰ κτίσουν καὶ στὴν Ἀθήνα Ναὸ τοῦ Ἁγίου Θεράποντος μὲ συνδρομὲς τῶν μελῶν. Πρὸς τὸν σκοπὸ αὐτὸ ἐξέδωσαν τὸ 1904 καὶ τὴν Ἀκολουθία τοῦ Ἁγίου, ἐπὶ τῇ βάσει «ἀρχαίου χειρογράφου εὑρισκομένου ἐν τῷ ἐν Ἀνδριτσαίνῃ Ναῷ» καὶ τὸ ὁποῖον ὁ τότε ἐφημέριος Γρηγόριος Θεοδωρακόπουλος παρέδωσε στὸν Ταμία τοῦ Συλλόγου Δ. Ἀμπαριώτην, φαρμακοποιόν. Τελικὰ ὁ Ναὸς κτίσθη-

www.tezaurliturgic.ro

κε τὸ 1924 στὴ συνοικία τοῦ Ζωγράφου.

Στὴ θέσι τοῦ μικροῦ παλαιοῦ Ναοῦ ἐκτίσθη τὸ 1956—60 ὁ σημερινὸς ὡραῖος καὶ μεγαλοπρεπὴς Ναός, μὲ τὶς εἰσφορὲς τῶν εὐλαβῶν χριστιανῶν τοῦ Ζωγράφου. Ὁ Ναὸς αὐτὸς—ὀκταγωνικὸς μετὰ τρούλλου—εἶναι ὁ Μητροπολιτικὸς Ναὸς τοῦ Ζωγράφου καὶ ἕνα ἀληθινὸ κόσμημα τῆς περιοχῆς τῶν Ἀθηνῶν.

Ἡ μνήμη τοῦ Ἁγίου Θεράποντος ἑορτάζεται μὲ κάθε μεγαλοπρέπεια στὶς 14 Μαΐου.

ΤΟ ΕΚΚΛΗΣΙΑΣΤΙΚΟΝ ΣΥΜΒΟΥΛΙΟΝ

Ἀρχιμ. Εὐθύμιος Στύλιος
Γεώργ. Θεοδωρακόπουλος
Γεώργ. Κατσαρὸς
Χρήστ. Κακουρίδης
Ἀλ. Δημητρέλλης

ΟΙ ΕΦΗΜΕΡΙΟΙ ΖΩΓΡΑΦΟΥ 15 Ἀπριλίου 1967

Ἀρχιμ. Ε. Κ. Σ.
Ἱερεὺς Νικόλαος Σίμος
» Γεώργιος Δασκαλογιάννης
» Βασίλειος Κουλουλιᾶς

www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ

# ΘΕΡΑΠΟΝΤΟΣ ΤΟΥ ΘΑΥΜΑΤΟΥΡΓΟΥ

**Ἐξ ἀρχαίου χειρογράφου**

**εὑρισκομένου ἐν τῷ ἐν Ἀνδριτσαίνῃ ὁμωνύμῳ Ναῷ**

Ψαλλομένη κατὰ τὴν 14ην Μαΐου

---

Ἐν τῷ ἑσπερινῷ ἱστῶμεν στίχους ς´ καὶ ψάλλομεν τὰ παρόντα προσόμοια

*Ἦχος α´. Τῶν Οὐρανίων Ταγμάτων*

Ἐν τῇ ἀσκήσει φοιτήσας, Θεράπων μάρτυς Χριστοῦ, Ἱερωσύνης δόξῃ, ὥσπερ φοίνιξ δικαίως, ἐξήνθησας παμμάκαρ καρποὺς θεϊκούς, μαρτυρίου προσάγων Θεῷ, τὴν τῶν εἰδώλων κατάλυσιν ἐμφανῶς καὶ ἀνθρώπων τὴν οἰκείωσιν.

Ποιμαντικῶς διαπρέψας, Ἱερομάρτυς Χριστοῦ, ἀθλητικοὺς ἀγῶνας ὑπομείνας γενναίως, ἓν δι᾽ ἀμφοτέρων στέφος λαβών, ἐν ἑκατέροις κοσμούμενος, δικαιοσύνῃ καὶ πόνοις ἀθλητικοῖς, διὸ πρέσβευε σωθῆναι ἡμᾶς.

Χριστὸς τὸ ζῆν σοι παμμάκαρ, καὶ τὸ θανεῖν ἀληθῶς, κέρδος ἐδείχθη πίστει, κατὰ Παῦλον τὸν μέγαν, Θεράποντα θεόφρων, ἐπεὶ δι᾽ αὐτόν, προθυμότα-

www.tezaurliturgic.ro


τα τέθνηκας, καὶ σὺν αὐτῷ βασιλεύεις διὰ παντός, εἰς ζωὴν τὴν ἀτελεύτητον.

*Ἦχος ὁ αὐτός. Πανεύφημοι Μάρτυρες*

Θεόφρων Θεράποντα βαφαῖς, τοῦ οἰκείου αἵματος Ἱερωσύνης ἐλάμπρυνας, στολὴν τὴν ἔνθεον, μεθ᾽ ἧς εἰς τὰ ἄνω εἰσῆλθες Βασίλεια, τῷ θρόνῳ τοῦ Δεσπότου παρίστασαι, ὃν νῦν ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Θεόφρων Θεράποντα Χριστός, ἐποφθείς σοι ἅπαντας, τοὺς ἐκ μωλώπων ἰάσατο, ἰχῶρος χάριτι, δι᾽ αὐτὴν γὰρ πᾶσαν, ὑπομείνας κάκωσιν, προείλω προφανῶς κλεϊζόμενος, διὸ ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Θεόφρων Θεράποντα πυρός, φύσιν ἐχαλίνωσας, καὶ ἀδιάφλεκτος ἔμεινας, ἡ δρόσος γὰρ Θεοῦ, σὲ περικυκλοῦσα, ἀβλαβῆ ἐφύλαττεν, ἐχθροὺς περιφανῶς καταισχύνουσα, καὶ νῦν ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

*Δόξα Ἦχος Δ´*

Ἔλαμψας ἐν τῷ κόσμῳ φωστῆρος δίκην, θεραπευτὰ τοῦ Χριστοῦ, Θεράπων μακάριε· ηὔγασας ἐν δόγματι τὸν περιούσιον λαόν, καὶ πόμα κυρίου, διὰ τοῦ ξίφους ἐγένου. Διὸ σοῦ τὴν πανίερον τιμῶμεν μνήμην σήμερον, καὶ τεῦχος ἀκλόνητον, οἱ πιστοὶ σὲ προβαλλόμεθα Ἱερομάρτυς ἀοίδιμε, μὴ παύσῃ δεόμεθα τοῦ ρυσθῆναι τὴν πόλιν σου, ἐκ πολλῶν πειρατηρίων, καὶ πρέσβευε πάντοτε Κυρίῳ ἐλεηθῆναι ταῖς ψυχαῖς ἡμῶν.

*Καὶ νῦν· Θεοτοκίον*

Ὁ διὰ σέ ἢ τῆς ἑορτῆς

www.tezaurliturgic.ro



Εἴσοδος, τὸ Φῶς ἱλαρόν. Τὸ προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

**Παροιμιῶν τὸ ἀνάγνωσμα.**

Μνήμη δικαίου μετ' ἐγκωμίων, καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος ὃς εὗρε σοφίαν, καὶ θνητός, ὃς εἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δὲ ἐστι λίθων πολυτελῶν, πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ· τοιγαροῦν ἀκούσατέ μοι, ὦ τέκνα σεμνὰ γὰρ ἐρῶ, καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει. Αἱ γὰρ ἔξοδοί μου, ἔξοδοι ζωῆς, καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς, καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων· ὅτι ἐγὼ ἡ σοφία κατεσκεύασα βουλὴν καὶ γνῶσιν καὶ ἔννοιαν, ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ· οἱ δὲ ἐμὲ ζητοῦντες, εὑρήσουσι χάριν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου, καὶ πάλιν, σεμνὰ γὰρ ἐρῶ, καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά, ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον μου χείλη ψευδῆ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου οὐδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν, καὶ πλησθήσεσθε πνεύματος.

**Σοφία Σολομῶντος τὸ ἀνάγνωσμα.**

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ

www.tezaurliturgic.ro


διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου, ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν, λήψεται πανοπλίαν καὶ ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν, ἐνδύσεται θώρακα δικαιοσύνης, καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον, λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν, συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπισκοπῶν ἁλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλείσωσιν ἀποτόμως, ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε, μάθετε δικασταὶ περάτων γῆς, ἐνωτίσασθαι οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν, ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστία παρὰ Ὑψίστου.

**Σοφία Σολομῶντος τὸ ἀνάγνωσμα.**

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται· γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται· πολιὰ δε ἐστι φρόνησις ἀνθρώπων καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος, εὐάρεστος τῷ Θεῷ γενόμενος ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλὰ καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς, ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ

www.tezaurliturgic.ro



τοιοῦτον· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ!

Εἰς τὴν Λιτὴν ψάλλομεν τὰ παρόντα ἰδιόμελα

*Ἦχος Α'.*

Εὐφραίνεσθε ἐν Κυρίῳ πόλεις Κυπρίων καὶ σκιρτήσατε ἀγαλλόμεναι τὴν μνήμην τοῦ ἱερομάρτυρος Θεράποντος, ἐν κόλποις κατέχουσαι, ὡς θησαυρὸν βαθυτάλαντον, καὶ ἀνεξάντλητον, μεθ' ὧν καὶ ἡμεῖς ὁσημέραι ἀπαρυόμενοι ἐκ τούτου, τὰ τῶν ἰάσεων ῥεῖθρα, εὐχαριστοῦντες Θεῷ, τῷ κηδεμόνι καὶ σωτῆρι τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν.

Τὸν θεῖον ἀγῶνα καλῶς ἀγωνισάμενος, Ἱερομάρτυς Θεράπων, τῆς Οὐρανῶν Βασιλείας οἰκήτωρ γέγονας, καὶ πρεσβεύεις ὑπὲρ τοῦ κόσμου παναοίδιμε, τὸ δὲ καρτερικώτατόν σου σῶμα ἐν τῇ γῇ κατέλιπες ἴαμα σωτήριον, τοῖς αὐτῷ προσιοῦσιν, καὶ ἁπτομένοις πόθου, δι' ὃ πρέσβευε διὰ παντὸς τῷ Κυρίῳ ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Πίστει καὶ πόθῳ ἀναφλεχθεὶς τῷ πρὸς τὸν δεσπότην σου ζέοντι, καὶ τῷ μαρτυρίῳ τὸ ὑπὲρ Χριστοῦ ὥσπερ κλίμακι χρησάμενος, ἀνῆλθες πρὸς Οὐρανίους λειμῶνας, κἀκεῖθεν τῇ θεόθεν δοθείσῃ σοι χάριτι, ἐποπτεύεις τούς τελοῦντας τὴν σεβάσμιον μνήμην σου, καὶ τοὺς σοὺς γεραίροντας ἀγῶνας μάρτυς Θεράπων. Τὰ τοῦ πονηροῦ ἠκονημένα βέλη ἀπήμβλυνας ἅγιε, τῇ τῶν σῶν ἄθλων ἀντιτυπίᾳ καὶ κατάσχυνας ὄφιν τὸν ἀρχέκακον. Ἀκλινεῖ γὰρ διανοίᾳ τῇ πέτρᾳ ἐρηρεισμένος τῆς πίστεως, ἀδιάσειστος ἔμεινας. Δι' ὃ αἱ ἀντιφάσεις τῆς ἀσεβείας οὐ κατίσχυσαν περιτρέψαι τὴν στερρὰν σου εὐσέβειαν, ἀνθ' ὧν ἐν Οὐρανοῖς συγχορεύεις ἀγγέλοις καὶ πρεσβεύεις ἀδιαλείπτως, ὑπὲρ τῶν πίστει καὶ πόθῳ τιμώντων ἐν ᾄσμασι τὴν πανσεβάσμιον μνήμην σου.

www.tezaurliturgic.ro



Μεγαλομάρτυς ἀθλητὰ τοῦ Χριστοῦ, Θεράπων ἱερώτατε σὺν ρωμαλέῳ φρονήματι τὸν ὄντως Θεὸν μεγαλοφώνως ἐν σταδίῳ ἐκήρυξας, τῶν παρόντων καταφρονήσας ὡς προσκαίρων καὶ νῦν ἐν Οὐρανοῖς ἐπαγγελλόμενος, σὺν τοῖς χοροῖς τῶν Ἀγγέλων ἀπαύστως τὸν Χριστόν, ὅν υἱὸν τοῦ Θεοῦ παρρησίᾳ ὡμολόγησαν ἱκέτευε εἰρηνεῦσαι τὸν Κόσμον ἐκ κινδύνων λυτρούμενον ἡμᾶς παντοίων ἀεί, τοὺς ἐν πίστει τὴν ἁγίαν σου μνήμην ἑορτάζοντας.

Ρωμαλεότητι φρενῶν, ὠχυρομένος θεσπέσιε, τὰς βασάνους τῶν ἀθέων, εἰς οὐδὲν ἐλογεῖσο, ἀλλ' ἀνδρείως ὥρμησας πρὸς τὰ σκώμματα. Τῷ δὲ θείῳ πνεύματι λαμπρυνθεὶς τὴν διάνοιαν, βασιλέα παρανομώτατον ἤλεγξας, καὶ τοὺς τιμωρουμένους σὲ ποιναῖς καθυπέβαλες καὶ τὴν ὀρθόδοξον πίστιν ἐκράτυνας. Καὶ νῦν ἐν οὐρανοῖς τὰ γέρρα τῶν σῶν πόνων κομισάμενος, ἀπαύστως δοξολογεῖς τὴν ἁγίαν Τριάδα καὶ πρεσβεύεις ὑπὲρ τῶν πίστει καὶ πόθῳ τιμώντων τὴν μνήμην σου.

Ενατενίσαι ἀκλινῶς Χριστοῦ Θεράπων πρός τὸν σὸν ποθούμενον Χριστὸν ὅν καὶ νοητῶς κατοπτεύσας νοῦ καθαρότητι παρ' οὗ καὶ φωτισθείς, σαῖς διδαχαῖς κόσμον κατεφώτισας, δι' ὅν καὶ νομίμως ἀθλήσας, τὸ σὸν αἷμα ἐξέχεας πρὸς ὅν ἱκέτευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Κατάλληλον τῶν ἔργων σου προσηγορίαν ἔσχηκας Θεράπων ἔνδοξε, ἐθεράπευσας γὰρ ὄντως τὸν Θεόν, ὅλῃ ψυχῇ καὶ καρδίᾳ, τῇ τε ἀσκήσει τὸ πρότερον, καὶ τῇ ἀθλήσει τὸ δεύτερον. Δι' ὅ καὶ παρ' αὐτοῦ ἀμοιβὰς τῶν πόνων σου ἐδέξω χάριν ἰᾶσθαι νοσήματα πάντων τῶν προσερχομένων σοι ἐκ πίστεως αὐτὸν οὖν ἱκέτευε ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

www.tezaurliturgic.ro



*Δόξα. Ἦχος πλ. α'*

Δεῦτε φιλομάρτυρες πάντες, εὐωχηθῶμεν ἐν τῇ πανσέπτῳ πανηγύρει τοῦ ἀθλοφόρου καὶ πνευματικῶς πανηγυρίσωμεν· σήμερον γὰρ συγκαλεῖται ἡμᾶς, ἡ πανσεβάσμιος πανήγυρις, τοῦ Ἱερομάρτυρος Θεράποντος, τράπεζαν ἡμῖν παρατιθεμένη τῆς ἀριστείας τῶν παλαισμάτων αὐτοῦ. Ἰάματα παρέχοντα τοῖς εἰς αὐτὸν προσιοῦσιν, δεινῶν ἀπαλλαγὴν καὶ τὸ μέγα ἔλεος.

*Καὶ νῦν. Θεοτοκίον. Μακαρίζομέν σε.*

*Καὶ αἱ συνήθεις εὐχαὶ*

Εἰς τὸν στίχ. στιχηρὰ προσόμοια· ἦχ. πλ. α'

*Χαίροις ἀσκητικῶν.*

Χαίροις Θεράπων ὄντως Χριστοῦ, Ἱεραρχῶν τε καὶ Μαρτύρων ἐφάμιλλος· ὁ κόσμος τῆς ἐκκλησίας, καὶ τῶν θαυμάτων πηγή, ἀεννάως νάμα ἡ προχέουσα. Πιστῶν τὰς καρδίας, διδασκαλίαις δροσίζουσα, αἱρετικῶν δὲ ἀποφράττουσα στόματα, καὶ πρὸς ἔρωτα τοὺς πιστοὺς θεῖον ἄγουσα. Ἅπαντες οὖν φιλέορτοι, αὐτὸν μακαρίσωμεν, ἐπιτελοῦντες αἰσίως, τὴν ἱερὰν αὐτοῦ ἄθλησιν, τυχεῖν ἐξαιτοῦντες, ἱλασμὸν πᾶσι πταισμάτων καὶ μέγα ἔλεος.

Στίχ. Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην

Χαίροις ὁ τὸν ἀμνὸν τοῦ Θεοῦ, θυσίαν ἄμωμον ἁγνὴν καὶ ἀναίμακτον, Θεράπων ἐπιτελέσας, ὑπὲρ λαοῦ σου πιστοῦ, θύων καὶ θυόμενος ἐξέχεας, τὸ αἷμα σου πάνσοφε, καὶ Χριστὸν ἐκμιμούμενος, ψυχὴν προδίδεις ὑπὲρ σῆς ποίμνης ἄριστα, ὡς πειθόμενος τοῦ Δεσπότου προστάγμασιν, Ἅγιε δεῦρο πρόφθασον, Κυρίου δεήθητι, ὑπὲρ τῶν πίστει τελούντων, τὴν παναοίδιμον μνήμην σου, αὐτοῖς καταπέμψαι ἱλασμὸν καὶ σωτηρίαν καὶ μέγα ἔλεος.

www.tezaurliturgic.ro


Στιχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος

Δεῦτε χοροστατοῦντες πιστοί, τὸν ἱεράρχην καὶ Χριστοῦ τὸν Θεράποντα, αἰνέσεως συμφωνίᾳ τὴν θεῖαν Κάραν αὐτοῦ, ᾄσμασιν ἐνθέοις πίστει μέλψωμεν, καὶ τούτῳ προσείπωμεν, ὡς θερμῷ ἀντιλήπτορι, τὸ χαῖρε χαίροις, τῶν αἱρέσεων μάχαιρα, κατακόπτουσα καὶ δαιμόνων τὰς φάλαγγας· ἄνθρωπε ἐπουράνιε, ἐπίγειε Ἄγγελε, ἡμῶν τῇ πίστει τελούντων τὴν θείαν μνήμην σου μέμνησο. Χριστὸν καταπέμψαι, ταῖς ψυχαῖς ἡμῶν δυσώπει τὸ μέγα ἔλεος,

*Δόξα. Ἦχος β'*

Ὡς τοῦ Θεοῦ Θεράπων ἔργῳ ἀναδειχθείς, τῆς ἱερᾶς διπλοΐδος παρ' αὐτοῦ Πάτερ κατηξίωσας, καὶ ἀνδρείως καὶ νεανικῶς τὴν εὐσέβειαν διδάσκων, τῷ πρακτέῳ τοὺς λόγους ἡμᾶς ἐξαιπέδευσας· ὅθεν καὶ μαρτυρικῶς τὸν δρόμον τελέσας, τοὺς τῶν εἰδώλων λατρευτὰς ἐν σοὶ ἠρέθισας. Δι' ὃ στεφάνῳ μαρτυρικῷ Χριστοῦ τῇ δεξιᾷ ἡ σὴ Κάρα ἐστέφθη ὃν καὶ πρεσβεύων μὴ διαλείπῃς σωθῆναι πάντας ἡμᾶς.

(Ἢ τὸ παρὸν)

*Ἦχος πλ. β'*

Ἱεραρχῶν μέγα κειμήλιον Θεράπων σοφέ, σὺ ἐν ἀρεταῖς ἀναδειχθείς, καὶ προστάτης λαοῦ ὑπὸ Θεοῦ ἀναδείκνυσαι, τὰς αἱρέσεις τῆς τοῦ Χριστοῦ ἐκκλησίας ἐξώρισας, καὶ συνοδικῶς αὐτὰς εἰς γῆν κατηδάφισας, σαῖς διδαχαῖς πιστῶν τὰ ποτίσματα κατήρδευσας, καὶ ὡς ἄμπελος εὐκλιματοῦσα βότρυας πλήρεις Χριστῷ προσεκόμισας. Τὰ τῶν εἰδώλων τεμένη εἰς γῆν κατέρραξας, καὶ ναοὺς ἤγειρας εἰς αἶνον καὶ ὕμνον τοῦ ἐν τριάδι προσώπου, καὶ ἐν μονάδι φύσεως ὑπ' ἀγγέλων ἀσιγήτως καὶ βροτῶν δοξαζομένου μόνου Θεοῦ, ὃν ἱκέτευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

www.tezaurliturgic.ro



*Καὶ νῦν. Θεοτοκίον. Τῆς ἑορτῆς, ἢ τὸ παρόν.*

Πάναγνε Μαριάμ, χριστιανῶν σκέπη, ὃν ἔτεκες ἀσπόρως Χριστὸν τὸν ζωοδότην, ὑπὲρ ἡμῶν ἱκέτευε.

*Ἀπολυτίκιον· ἦχος α΄*

Ἀσκήσει μὲν τὸ πρῶτον λάμψας. Ὅσιε, πάσας δαιμόνων φάλαγγας κατετρόπωσας, ἀθλήσει δὲ τὸ δεύτερον ἀριστεύσας τὰς τῶν τυράννων ἀπειλὰς κατεφρόνησας. Διὸ διπλοῦν παρὰ Θεοῦ στέφος λαβών, συγχαίρεις τῶν ἀγγέλων τοῖς χοροῖς, καὶ τρυφᾷς Θεράπων μάρτυς· σὺν τοῖς Ὁσίοις καὶ ἱερομάρτυσι. Δόξα τῷ σὲ δοξάσαντι Χριστῷ. Δόξα τῷ σὲ στεφανώσαντι. Δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.

*Ἕτερον· ἦχος αὐτός.*

Τὸν ποιμενάρχην Κυπρίων Θεράποντα, ᾄσμασι τῶν μετὰ πάντων Ἁγίων δοξασθέντα ἐν θαύμασιν, ὑμνήσωμεν ἀπαύστως οἱ πιστοί, συμφώνως ἐν τῇ τούτου ἑορτῇ, καὶ ὡς πλεῖστα κατιδόντες ὑπ᾿ αὐτοῦ θεραπευθέντα πάθη ἐκβοήσωμεν. Δόξα τῷ σὲ δοξάσαντι Χριστῷ. Δόξα τῷ σὲ στεφανώσαντι. Δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.

*Καὶ νῦν Θεοτοκίον. Τοῦ Γαβριὴλ φθεγξαμένου.*

Καὶ ἀπόλυσις

www.tezaurliturgic.ro


# ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὸν Ἑξάψαλμον· τὸ Θεὸς Κύριος, τὰ Ἀπολυτίκια κ.τ.λ. ὡς εἰς τὸν Ἑσπερινόν.—Μετὰ τὴν Α' στιχολογίαν, Καθίσματα.

Ἦχος Δ'. Ταχὺ προκατάλαβε.

Φοινίξας ἐν αἵματι τὴν Ἱερὰν συστολήν, θυσίαν εὐάρεστον, Θεῷ προσῆξας σαυτόν, Θεράποντα ἔνδοξε· ἔθραυσας τῶν δαιμόνων τὸ ἀνίσχυρον θράσος, εὔφρανας τοὺς Ἀγγέλους τῇ στερρᾷ σου ἐνστάσει, διὸ καθικετεύων μὴ παύσῃ σωθῆναι ἡμᾶς.

Δόξα· ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.

Εἰς τὸν γνόφον εἰσελθών, θεολογίας μυστικῆς, ἐκεῖθεν ἤντλησας ἡμῖν, πόμα εὐφραῖνον τὰς ψυχάς, καὶ τὰς καρδίας ἀρδεύων πιστῶν Θεράπων, γέγονας Ποιμὴν ἀληθέστατος, καὶ μάρτυς ἀψευδὴς εὐπρεπέστατος, ὑπὲρ λαοῦ καὶ ποίμνης ἐναθλήσας, αἷμα ἐκχέας οἰκεῖον σου, ὡς μάρτυς ὄντως, καὶ Ἱεράρχης, πρέσβευε τοῦ σωθῆναι ἡμᾶς,

Καὶ νῦν· Θεοτοκίον·

Κατεπλάγη Ἰωσήφ, τὸ ὑπὲρ φύσιν θεωρῶν, καὶ ἐλάμβανεν εἰς νοῦν, τὸν ἐπὶ πόκον ὑετόν, ἐν τῇ ἀσπόρῳ συλλήψει σου Θεοτόκε, βάτον ἐν πυρὶ ἀκατάφλεκτον, ῥάβδον Ἀαρὼν τὴν βλαστήσασαν, καὶ μαρτυρῶν ὁ μνήστωρ σου καὶ φύλαξ, τοῖς ἱερεῦσιν ἐκραύγαζε. Παρθένος τίκτει, καὶ μετὰ τόκον, πάλιν μένει Παρθένος.

Μετὰ τὴν δευτέραν στιχολογίαν. Κάθισμα ἦχος γ'.

Θείας πίστεως

Ἔργοις ἔλαμψας τῆς εὐσεβείας, πλάνην ἔσβεσας κακοδοξίας, ὡς τοῦ Χριστοῦ στρατιώτης Θεράποντα, καὶ παρανόμων τὰς φάλαγγας ἤσχυνας τροπαιοφόρος πανὸ μάκαρ γενόμενος, Μάρτυς ἔνδοξε, Χριστὸν τὸν Θεμ-

www.tezaurliturgic.ro



ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Στῦλος ἄσειστος τῆς ἐκκλησίας, λύχνος ἄσβεστος τῆς οἰκουμένης, ἀθλοφόρε ἀνεδείχθης Θεράποντα, καὶ ἀναλάμψας Ἡλίου φαιδρότερον, τὴν τῶν εἰδώλων ἐλαύνεις κακόνοιαν Μάρτυς ἔνδοξε Χριστὸν τὸν Θεὸν ἱκέτευε., δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

(Ἕτερον) Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Τὰ στίφη τῶν πιστῶν εὐσεβῶς συνελθόντα, τὸν μάρτυρα Χριστοῦ καὶ παθῶν ἰατῆρα, ἀξίως εὐφημήσωμεν, εὐσεβείας τὸν πρόμαχον, ἀδαμάντινον, καὶ δυσεβῶν καθαιρέτην, τὸν κηρύξαντα Θεὸν τοῦ σύμπαντος κόσμου Χριστὸν καὶ Θεάνθρωπον.

Δόξα· ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Πανηγυρίζουσι πιστοί, ἐπὶ τῇ μνήμῃ τῇ σεπτῇ, τοῦ ἀοιδίμου ἀθλητοῦ, Θεράποντος ἐν τῷ Ναῷ, καὶ τῇ σορῷ τῶν λειψάνων παρεστηκότες νάματα ἀντλοῦσι σωτήρια, καὶ ῥῶσιν τῆς ψυχῆς τε καὶ σώματος, ἐξ ὀδυνῶν λυτρούμενοι παντοίων, καὶ τῷ Κυρίῳ κραυγάζοντες Χριστὲ πρεσβείαις τοῦ ἀθλοφόρου, σῶσον τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν· Θεοτοκίον.

Κατεπλάγησαν Ἁγνή, πάντες Ἀγγέλων οἱ χοροί, τὸ μυστήριον τῆς σῆς, κυοφορίας τὸ φρικτόν· πῶς ὁ τὰ πάντα συνέχων νεύματι μόνῳ, ἀγκάλαις ὡς βροτὸς ταῖς σαῖς συνέχεται, καὶ δέχεται ἀρχὴν ὁ προαιώνιος καὶ γαλουχεῖται σύμπασαν ὁ τρέφων πνοὴν ἀφάτῳ χρηστότητι· καὶ σὲ ὡς ὄντως Θεοῦ Μητέρα, εὐφημοῦντες δοξάζουσι.

Μετὰ τὸν πολυέλαιον. Κάθισμα. Ἦχος γ΄.

Τὴν ὡραιότητα

www.tezaurliturgic.ro


Τὴν καθαρότητα μάρτυς τοῦ βίου σου, καὶ τὸ ὑπέρλαμπρον τοῦ μαρτυρίου σου, καταπλαγεῖσα μυστικῶς, βοᾷ σοι εὐφραινομένη, σήμερον τιμῶμέν σου, τὴν πανέορτον μνήμην σου, θραῦσον τὰ φρυάγματα τῶν ἐχθρῶν ἡμῶν Ἅγιε, καὶ λύτρωσον ἡμᾶς ἐκ τῶν κινδύνων, καὶ νοσημάτων τοὺς ὑμνοῦντάς σε.

Δόξα· Ἦχος δ'. Ἐπεφάνης σήμερον

Ἑορτὴν χαρμόσυνον ἐπιτελοῦντες, τοῦ κλεινοῦ Θεράποντος καὶ ἱεράρχου ἀληθοῦς, ἐν πίστει πάντες βοήσωμεν. Κύριε σῶσον ἡμᾶς ἱκεσίαις αὐτοῦ.

Καὶ νῦν· Θεοτοκίον.

Ἐν τῇ σκέπῃ Ἄχραντε, τῇ σῇ προστρέχω, καὶ βοῶ σοι ῥῦσαι με, ἐκ τῶν τοῦ βίου δυσχερῶν, καὶ τῷ Υἱῷ σου ἀπάλλαξον, ἵνα σωθείς, ἀνυμνῶν μεγαλύνω σε.

Οἱ ἀναβαθμοί, τὸ α', ἀντίφωνον τοῦ δ' ἤχου. Προκείμενον ἦχος δ'.

Δίκαιος ὡς φοῖνιξ ἀνθήσει. Στιχ. Πεφυτευμένος ἐν οἴκῳ Κυρίου.

Τὸ Πᾶσα πνοή. Εὐαγγέλιον ἐκ τοῦ κατὰ Λουκᾶν, ζήτει τὴν κγ' Ἀπριλίου εἰς τὸν Ὄρθρον (Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς προσέχετε ἀπὸ τῶν ἀνθρώπων)

Τὸ Ἀνάστασιν Χριστοῦ (ἐὰν δὲν ἀπεδόθη τὸ Πάσχα). Ὁ Ν'. Δόξα. Ταῖς τοῦ ἀθλοφόρου. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου. Στιχ. Ἐλέησόν με ὁ Θεός.

Ἰδιόμελον· ἦχος πλ. β'.

Φάλαγγα Θεοστεφῆ πρωτοφανοῦς μάρτυρος, ὑπὲρ Χριστοῦ τυθεῖσαν προθύμως, τὸν ἁγιόλεκτον συνασπισμόν, τοῦ Ἱερομάρτυρος Θεράποντος, φιλομάρτυρες δεῦτε τιμήσωμεν, καὶ τὴν πανίερον μνήμην αὐτοῦ πνευματικῶς τελέσαντες, πρὸς αὐτὸν βοήσωμεν, τὸν εὐσεβόφρονα λαόν σου παντοίας νόσου ἐλευθέρωσον καὶ λύτρωσον ἡμᾶς περιστάσεως.

www.tezaurliturgic.ro



Ὁ Ἱερεύς. Σῶσον Κύριε τὸν λαόν σου κλπ. Τὸ Κύριε ἐλέησον ιβ΄. Ἐλέει καὶ οἰκτιρμοῖς. Εἶτα οἱ Κανόνες μετὰ τῶν Εἱρμῶν εἰς ς΄.

Ὠδὴ α΄. Ἦχος δ΄. Ἅρματα Φαραὼ

Δεῦτε θεοπρεπῶς, φιλομάρτυρες λαοί, χορεύοντες ᾄσωμεν, ᾄσμασι καὶ ὑμνῳδίαις, τὸν ἱερομάρτυρα τοῦ Χριστοῦ, ἀνευφημοῦντες Θεράποντα.

Ἄνθεσι χαρμονικῶς, καταστέψωμεν πιστοὶ τὸν Θεῖον Θεράποντα, ὡς νικητὴν ἀσεβείας καὶ μάρτυρα στεῤῥὸν τῆς τριφαοῦς ὁμοουσίου θεότητος.

Ἥλιος διαυγής, ἐξ ἀδύτων ἱερῶν, τῷ κόσμῳ ἀνέτειλας ἀπεμείωσας τὴν πλάνην, ἐν ἀθλητικαῖς μαρμαρυγαῖς, Ἱερομάρτυς Θεράπων.

Θεοτοκίον

Ἄπορον τοκετόν, μόνη φέρεις γυναικῶν, καὶ μήτηρ ὑπάρχουσα, καὶ Παρθενεύουσα κόρη, ἄκουσμα φρικτὸν ὤφθης, ἁγνὴ ὅτι Θεὸν ἀπεκύησας.

Ἕτερος κανών. Ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.

Ὥσπερ ἐν εἴδει φλογερῶν ἐφώτισε, γλωσσῶν τὸ πνεῦμα τὸ σόν, Χριστὲ θιασώτας, καὶ σοφίας ἔπλησε, κἀμὲ νοῦν προαιρούμενον, ἀνυμνῆσαι προθύμως, Θεράποντα τὸν ἀοίδιμον, ἔμπλησον σοφίας καὶ χάριτος.

Συμφώνως πάντες ἐν αἰνέσει μέλψωμεν τὸν Ἱεράρχην Χριστοῦ, καὶ ἀθλητὴν ὄντως, ὡς τὴν πλάνην σβέσαντα, τελείως τοῦ ἀλάστορος· λαοὺς γὰρ διασώσας, νυνὶ βοᾷ ἀγαλλόμενος, δόξαν ἀναπέμπων Χριστῷ τῷ Θεῷ.

Ἄνω τὸ ὄμμα τοῦ νοὸς ἐβίβασας, ἔνθα Δεσπότης ὁ σός, πρόδρομος εἰσῆλθε, καὶ βαδίζων ἔσπευσας Θεράπων παμμακάριστε· καὶ σαρκὸς ἀλογήσας, τὸ αἷμα τὸ σὸν ἐξέχεας, καὶ ἐν οὐρανοῖς νῦν κατῴκησας.

www.tezaurliturgic.ro



Θεράπων θῦμα σεαυτὸν προσήνεγκας, τῷ δι' ἡμᾶς ἐν σταυρῷ πρὶν προσηλωθέντι, καὶ τὸν κόσμον ῥύσαντι, καὶ γέγονας πανάριστος, ἰατὴρ τῶν νοσούντων, ψυχῶν καὶ νόσων παντοίων τε, τοῖς τῇ σῇ σωρῷ προσπελάζουσι.

Θεοτοκίον

Λόγον μοι λόγε τοῦ Θεοῦ πρυτάνευσον, ὅπως τὸ χαῖρε τῇ σῇ μητρανάνδρῳ λέξω, χαῖρε ὄλβος ἄσυλος, χαῖρε ἁγνείας σκήνωμα, χαῖρε ῥάβδος ἡ θεία, τοῦ Ἀαρὼν ἡ βλαστήσασα, χαῖρε πυριώνυμε Δέσποινα.

Καταβασία. Ἀνοίξω τὸ στόμα μου.

Ὠδή γ'. Ὁ στερεῶν βροντήν.

Ὡς θαυμαστὸν λαοῖς τὸν Ἱερομάρτυρά σου ἀνέδειξας Σωτὴρ ἡμῶν, ὑπενεγκεῖν πᾶσαν προσβολήν, διά δὲ πικρῶν βασάνων τῷ πόθῳ γλυκαινόμενον τῆς σῆς ἀγαπήσεως ἔτυχεν.

Ἐν ὀφθαλμοῖς τὸ πῦρ ὑποίσας μάκαρ, τὴν ὄψιν ἀπολέλοιπας, καὶ κατιδὼν δόξαν Οὐρανῶν, τῷ Θεῷ καθομολόγεις, ὅτι τὸ πάθος φάος σοι λαμπρὸν ἐξανέτειλεν.

Θεοτοκίον

Τὸ θαυμαστὸν ἀεὶ ἐν σοὶ θρυλλεῖται, τεράστιον Πανάχραντε, ὅτι Παρθένος οὖσα παιδοτοκεῖς, καὶ γνησία Μήτηρ πέλεις τοῦ ποιητοῦ τῆς κτήσεως, ἀμφοῖν ἀληθεύουσα.

Ἕτερος κανών. Ὁ στερεώσας κατ' ἀρχάς.

Ὡραϊσθεὶς ἀσκητικαῖς διαγωγαῖς καὶ φαιδρύνας, τὴν στολὴν τὴν ἱερὰν αἷματί σου καὶ κατ' ἄμφω τῷ Χριστῷ Θεράπων εὐηρέστησας· ἀσκητικῶς ἐν πόνοις καὶ μαρτυρίου ὑψώμασι.

www.tezaurliturgic.ro



Θεράπων σὺ ἀληθῶς ἐξ ἁπαλῶν σου ὀνύχων, τὸν ζυγὸν τὸν ἐλαφρὸν ὑπεισῆλθες, τοῦ Χριστοῦ εἰς αὖθις δέ, αἵματι κατεφοίνιξας, τὴν τῆς ἱερωσύνης στολὴν καὶ χαίρων ἐνήθλησας.

Υἱὸς ἡμέρας σὺ δειχθείς, ταῖς ἀρεταῖς ἀπαστράψας, καὶ τὸν ζόφον τῆς ἀπάτης σκεδάσας, κατεφώτισας λαούς, σαῖς διδαχαῖς πανόλβιε, ἐν πανολβίῳ τούτους χορῷ Κυρίου παρέστησας.

Θεοτοκίον

Τὴν καλλονὴν τοῦ Ἰακώβ, Δεσπότης ἣν ἠρετήσω, κατοικήσας καὶ ἐκ ταύτης προῆλθε, Θεὸς ἄνθρωπος διπλοῦς, οὐσίαις καὶ θελήσεσιν ὕμνοις ταύτην ἐνθέοις, καταγεραίροντες στέψωμεν.

Καταβασία. Τοὺς σοὺς ὑμνολόγους.

Κάθισμα· ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Καθάρας ἑαυτόν, ἀπὸ ῥύπου κακίας, ἐχρίσθης καὶ Θεῷ, Ἱεράτευσας Πάτερ, ἀθλήσας δὲ θαύματος, πλειοτέρων ἐξέλαμψας καὶ κατηύγασας, τὰς τῶν πιστῶν διανοίας, τῶν θαυμάτων σου, ταῖς παραδόξοις ἀκτῖσιν, Θεράποντα ἔνδοξε.

Δόξα. Ἦχος γ΄. Θείας πίστεως ὁμοουσίου.

Θείοις δόγμασι καταπλουτήσας, τὰ πληρώματα τῶν εὐσεβούντων, τρεῖς καὶ δέκατος ἄλλος Ἀπόστολος τοῖς πυριφθόγγοις Θεράπων διδάγμασιν αἱρετικῶν καταφλέξας ζιζάνια, πάντας ἤρδευσας, τοὺς πίστει τιμῶντάς σε· αἴτησαι ἡμῖν τὸ μέγα ἔλεος.

Καὶ νῦν· Θεοτοκίον.

Θεία γέγονες σκηνὴ τοῦ λόγου, μόνη Πάναγνε Παρθενομῆτορ, τῇ καθαρότητι, Ἀγγέλους ὑπερέχουσα,

www.tezaurliturgic.ro


τὸν ὑπὲρ πάντας ἐμὲ δὲ γενόμενον, ῥερυπωμένον σαρκὸς πλημμελήμασιν, ἀποκάθαρον ἡμᾶς ἐνθέοις νάμασι, παρέχουσα σεμνὴ τὸ μέγα ἔλεος.

Ὠδὴ δ'. Εἰσακήκοα ὁ Θεός.

Ἐν αὐχήμασι ποικιλθείς, δικαιοσύνης ἐν κορυφῇ σου, ἐδωρήθη σοι διάδημα χρυσοφαές, ὡς δώρημα τῶν πόνων σου σοφέ.

Ἡδομένης τῆς ψυχῆς, ἐν ταῖς βασάνοις μάρτυς τὸ πρόσωπόν σου ὡσεὶ ῥόδον, τεθεώρηται ὡραϊζομένῳ σοι ἐν τοῖς Χριστοῦ παθήμασι τρισμάκαρ σοφέ.

Τριαδικὸν.

Ἐν μιᾶ οὐσία ὑμνῶ, τρεῖς ὑποστάσεις, τῆς θεαρχίας, τοῦ Πατρὸς υἱοῦ καὶ Πνεύματος, ὅτι μία ἔλλαμψις, τῆς τρισηλίου φύσεως, εἷς ὁ Θεός.

Θεοτοκίον.

Ἡ Παρθένος πῶς γαλουχεῖς; πῶς τοῖς μητρώοις τοκεύεις νόμοις; ὅτι ὅνπερ ἀπεκύησας, σαρκωθεὶς Θεὸς ἐστί, καινοτομῶν τὴν φύσιν ὡς οἶδεν αὐτός,

Ἕτερος. Σύ μου ἰσχὺς Κύριε.

Ἡ θεαυγὴς μνήμη τοῦ Θείου Θεράποντος, ἀπαστράπτει φέγγει τῶν ἰάσεων ἀντανακλάσεις χρυσοειδεῖς, καὶ διασκορπίζει δαιμόνων σκότος βαθύτατον· πιστοὺς δὲ ἁγιάζει, καὶ τὰς νόσους ἰᾶται, τοῖς αὐτοῦ τῷ Ναῷ προσεδρεύουσι.

Ἔργοις Χριστοῦ, πεπλουτηκὼς ἀνεκήρυξας, Ἱεράρχα λόγον τὸν συνάναρχον, καὶ ὁμοούσιον τῷ πατρί, Πνεύματί τε θείῳ, Τριάδα ἄναρχον ἄκτιστον· διὸ στέφανον ἦρας μαρτυρίου Θεράπων, πρὸς Χριστὸν ἀ-

www.tezaurliturgic.ro



ναπτάς, ὃν ἐπόθησας.

Θῦμα σαυτόν, τῷ σῷ Δεσπότῃ προσήνεξε, εὐωδία, ὡς φησὶ γενόμενος, Παῦλος Χριστοῦ, ὑπὲρ οὗ τὸ ζῆν καὶ ἐμμένειν ὧδε, θανεῖν δὲ μᾶλλον προέκρινας· διὸ καὶ τὸ σαρκίον παραδοὺς ταῖς αἰκίαις, εὐωδίας τὸν κόσμον ἐπλήρωσας.

Ἐξ ἀναγκῶν, καὶ πάσης ἄλλης κακώσεως, τὴν σὴν ποίμνην, ῥῦσαι κινδυνεύουσαν, ἐκ τῶν τῆς Ἄγαρ Πάτερ υἱῶν, καὶ κεκακωμένην· διὸ μὴ παύσῃ δεόμενος Χριστοῦ τοῦ Φιλανθρώπου, οἰκτηρῆσαι καὶ σῶσαι, τῇ πρεσβείᾳ σου πάντας ἐκ θλίψεως.

Θεοτοκίον

Ὅλος ἐσμῶ, ἁμαρτιῶν περικείμενος, δεδεμένος ὅλος πλημμελήμασι, καὶ δουλωθείς, ὅλος τῷ ἐχθρῷ, ὅλος προαιρέσει, ὑπέκυψε τῷ ἀλάστορι, οὐκ ἔχω πλὴν σοῦ ἄλλην προσδοκίαν Παρθένε, σπεῦσον ῥῦσαι με ὅπως δοξάζω σε.

Καταβασία. Ὁ καθήμενος ἐν δόξῃ.

Ὠδὴ ε΄. Ἀνάτειλόν μοι Κύριε.

Ἐξέλαμψας ὡς Ἥλιος οἴκων τὸ δεσμωτήριον, ὅτι ἐκεῖ τὸ φῶς τὸ ἄδυτον, Χριστός σοι ἐπεφάνη λόγους παρακλήσεως ὡς τῷ Παύλῳ φωνῶν σοι καρτερόφρων ἀθλητά.

Δεσμά σοι διερράγησαν, ὥσπερ ἱστὸς ἀράχνιος, ὅτι ἐν σοὶ ἰσχὺς ἡ ἄμαχος συντρίβουσα δαιμόνων, ἅπασαν ἐπίνοιαν, καὶ σὲ μεγαλύνουσα στρατιῶτα τοῦ Χριστοῦ.

Τριαδικόν.

Καὶ τρία σέβω πρόσωπα, καὶ μίαν τὴν θεότητα, ὅτι ἐν τρισὶ διῄρηται προσώποις οὐ τῇ φύσει, εἷς γὰρ

www.tezaurliturgic.ro


Θεὸς ἡμῶν, ὁ πατὴρ ὁ Υἱός τε καὶ πνεῦμα τὸ εὐθές.

Θεοτοκίον.

Καὶ ἄρρητον λεγόμενον, καὶ ἄγνωστον νοούμενον, τὸ ἐπὶ σοὶ ὀφθὲν μυστήριον, ὅτι σπορὰν οὐκ ἔγνως, καὶ Υἱὸν ἀπέτεκες· οὗτός ἐστι Πάναγνε τῆς Εἰρήνης Βασιλεύς.

Ἕτερος. Ἵνα τί μὲ ἀπώσω ;

Ιεράρχα Θεράπων, τῇ ἀσκήσει πρότερον σαυτὸν ἐλάμπρυνας, τῇ ἀθλήσει δ' αὖθις, Ἀσωμάτων οἱ νόες ἐθαύμασαν, τὴν ἀνδρίαν Πάτερ, καὶ καρτερίαν δι' ἧς ὤφθης, νικητὴς τοῦ τὴν Εὔαν τροπώσαντος.

Οἱ φιλέορτοι δεῦτε, ἄσμασι κροτοῦντες ὁμοῦ συνδράμετε, ἡλικία πᾶσα, τὸν γενναῖον καὶ θεῖον Θεράποντα, ὄψεσθε πατοῦντα τὰς μηχανὰς τοῦ ἀντιπάλου καὶ τὸ στέφος τῶν ἄθλων δεχόμενον.

Θύων πάλαι Κυρίῳ καὶ ἱερουργῶν ἀναιμάκτως ἐσύστερον, σεαυτὸν θυσίαν, προσηγάγω ἁγνὴν καὶ εὐάρεστον, διὰ μαρτυρίου, Ἄγγελοι ὅθεν ἐπεκρότουν, σοῦ τοὺς ἄθλους Θεράπων ἀοίδιμε.

Εν τῇ θεία σου μνήμῃ, Ἄγγελοι καὶ δίκαιοι πανηγυρίζουσιν, ὡς τῶν πρωτοτόκων ἐκκλησίαν φαιδρύνας, σοῖς αἵμασι σύσκηνον λαβόντες, τὴν σὴν ψυχὴν Θεράπων μάκαρ, τῷ δὲ σῶμα τῇ ποίμνῃ σου δέδωκας.

Θεοτοκίον.

Ρεύσασάν μου τὴν φύσιν, πάλαι καὶ φθαρεῖσαν ὁ λόγος ἐκένωσεν, ἑαυτὸν ἐκ κόλπων, πατρικῶν σκηνώσας ἐν μήτρᾳ σου, τῆς ἁγνῆς Παρθένου, ἀναλαβὼν αὐτὴν μορφοῦται, ἧς τὸ πρότερον κάλλος ἐφαίδρυνε.

www.tezaurliturgic.ro



Καταβασία. Ἐξέστη τὰ σύμπαντα.

Ὠδὴ ς'. Τῶν πταισμάτων τῇ ζάλῃ.

Τῶν Ἀσωμάτων τὴν λύραν πάντες ᾄσωμεν ἀγαλλομένῃ καρδίᾳ, ὅτι Χριστὸς ἀνέδειξεν, Θεράποντα τὸν κλεινὸν ἀθλοφόρον, νικητὴν τοῦ ἀντικειμένου.

Τοῖς εἰδώλοις τοῦ θύειν ἀπαρνούμενος, θυσία ζῶσα τρισμάκαρ Θεῷ γέγονας, εὐωδιάζων ἅπασι, τὰ ἄχραντα μύρα τῶν παθημάτων, τοῦ Χριστοῦ ἐν τῷ σώματί σου.

Τετραδέσμοις ἀνάγκαις διερχόμενος, ὡς ἐν ἀδύτοις ὑπῆρχες εὐφραινόμενος, ἑώρας γὰρ τὴν μέλλουσαν ἀνάπαυσιν, πρὸ προσώπου σου μάρτυς, ὑπὲρ ἧς εἵλω πάντα παθεῖν.

Θεοτοκίον.

Υπερφυὴς ὁ τόκος, ὅτι ἀσπόρως μητροπρεπῶς πάλιν τίκτεις νόμῳ φύσεως, παναληθῆ ἀμφότερα, φιμούσθωσαν αἱ γλωσσώδεις αἱρέσεις, ἐπί σοι Θεομήτωρ.

Ἕτερος. Ἱλάσθητί μου Σωτήρ.

Ανῆλθες ἐν τῷ σταυρῷ, Λόγε Θεοῦ τῇ βουλήσει σου, καὶ ἐπεσπάσω πρὸς σὲ μαρτύρων τὰ τάγματα, μεθ' ὧν τῇ τιμήσει σου, ὁ Θεράπων κλέος μαρτυρίου ἀπηνέγκατο.

Παμμάκαρ ὤφθη ἡ σή, Θεράπων μνήμη ὡς ἥλιος, φωτίζουσα τοὺς πιστῶς τῷ θείῳ τεμένει σου, ἀεὶ προσεδρεύοντας καὶ ἐξαιτουμένους τῶν κακῶν τὴν ἀπολύτρωσιν.

Ο πρώταθλος Ἰησοῦς, Θεράπων χεῖρα προτείνει σοι, ἀνέρχεσθαί σε καλῶν, ὡς γὰρ ἡ ὑπόσχεσις, τοῖς πᾶσι λελάληται, ὅπου νῦν ἐκεῖνος, καὶ οἱ δοῦλοι αὐτοῦ ἔσονται.

www.tezaurliturgic.ro


Θεοτοκίον.

Ναυαγιζόμενος νῦν, σάλῳ πολλῶν περιστάσεων, τῷ κήτει τῷ νοητῷ, δεινῶς περιπέπτωκα, καὶ ὅλος κατάβρωμα, γέγονα Παρθένε, τῇ πρεσβείᾳ σου διάσωσον.

Καταβασία. Τὴν θείαν ταύτην.

Κοντάκιον. ἦχος δ΄. Ἐπεφάνη σήμερον.

Θησαυρὸν πολύτιμον ἡ ἐκκλησία, τὴν σὴν μνήμην κέκτηται, Ἱερομάρτυς ἀθλητὰ Τροπαιοφόρε Θεράποντα, διὸ καὶ χαίρει, τὸν κτίστην δοξάζουσα.

Ὁ Οἶκος.

Τὸν στεῤῥὸν ὁπλίτην, καὶ Χριστοῦ στρατιώτην, καὶ μέγαν ἐν μάρτυσι, Θεράποντα τὸν πανένδοξον, συνελθόντες εὐφημήσωμεν. Ὑπὲρ Χριστοῦ γὰρ καὶ τῆς ἀληθείας λαμπρῶς ἠγωνήσατο, καὶ τὴν ὀρθόδοξον πίστιν τρανῶς ἀνεκήρυξε· τὴν πλάνην τῶν εἰδώλων κατήργησε, βασιλέα παρανομώτατον ἤλεγξε, αἰκισμῶν ἠξιώθη χαίρειν ἀγαλλόμενος· διὸ καὶ τὸν στέφανον εἴληφε παρὰ τῆς δεξιᾶς τοῦ ὑψίστου, καὶ συμπολίτης Ἀγγέλων ἐγένετο, ὅθεν ἡ ἐκκλησία τῶν ὀρθοδόξων, τούτου τὴν πάντιμον μνήμην ἑορτάζουσα, καὶ εὐφημίαις καταστέφουσα, καὶ πολλῶν δεινῶν καὶ νόσων ἀπαλλάττων χαίρει τὸν κτίστην δοξάζουσα.

Τῇ αὐτῇ ἡμέρᾳ. Μνήμη τοῦ Ἁγίου Ἱερομάρτυρος καὶ Θαυματουργοῦ Θεράποντος, ὅστις μιᾶς τινος Ἐκκλησίας τῶν κατὰ Κύπρον κειμένων Ἐπίσκοπος ἐχρημάτισε.

Στίχοι

» Ὤφθης Θεράπων, οἷα θύτης τοῦ Λόγου
» Ὤφθης Θεράπων, καὶ δ' αἵματος Πάτερ.
» Σπεύδεις Θεῷ Θεράπων, θερμῷ τῷ πόθῳ
» Θερμοὺς σταλαγμούς, αἱμάτων ἐξ αὐχένος.
» Τὸν θεῖον μόσχον Θεράπων ἀρχιθύτης θύων
» Ξίφει δ' αὐτὸν θύεται οἷα περ μόσχος

www.tezaurliturgic.ro



Ὁ Ἅγιος Θεράπων πόθεν κατήγετο καὶ ἐκ τίνων γονέων ἐγεννήθη καὶ εἰς ποίους χρόνους καὶ κατὰ τίνων ἡγεμόνων καὶ βασιλέων ἀντιταχθεὶς ἐνίκησεν, διὰ τῆς ὁμολογίας αὐτοῦ εἰς τὴν τοῦ Χριστοῦ πίστιν, χάριν τῆς ὁποίας εὗρε τὸν τοῦ μαρτυρίου στέφανον, οὐκ ἔχωμεν εἰπεῖν, καθ' ὅτι τὰ ὑπομνήματα τοῦ βίου αὐτοῦ ἀπωλέσθησαν ὑπὸ τοῦ πανδαμάτορος χρόνου. Ὅτι ὅμως ὁ Ἅγιος μονήρη διῆγε βίον, δηλοῦσι αἱ Ἅγιαι αὐτοῦ εἰκόνες αἱ ἱστοροῦσαι αὐτὸν Μοναχόν. Ὅτι ὑπῆρξε ἐπίσκοπος Κύπρου καὶ προσέφερεν δι' αἵματος ἑαυτὸν ἐν Χριστῷ, διανύσας ἀγῶνα μαρτυρικόν, ταῦτα κατὰ διαδοχὴν ἐξ ἀρχαίας φήμης ἐλήφθησαν καὶ διὰ παραδόσεως παρὰ τῶν προγενεστέρων καὶ εἰδότων αὐτὰ διδαχθέντες πιστεύομεν. Τὸ δὲ τίμιον αὐτοῦ λείψανον, μετεφέρθη εἰς Κων)πολιν ὅταν οἱ Ἀγαρηνοὶ ἐμελέτων τὴν κατὰ τῶν Κυπρίων ἐπίθεσιν. Τότε γὰρ ὁ Ἅγιος ἐφάνη κελεύσας τοὺς ἔχοντας τὸ ἑαυτοῦ λείψανον, ὅπως μεταθέσωσιν ἐκεῖθεν εἰς Κων)πολιν, ἔνθα καὶ νῦν κεῖται, καὶ ἀεὶ διὰ θαυμάτων παρέχει τοῖς ἐν πίστει προστρέχουσιν αὐτῷ τὴν ἴασιν.

## (Ἕτερα περὶ τοῦ Ἁγίου *)

Οὗτος εἷλκε μὲν τὸ γένος ἐκ τῆς τῶν Ἀλαμάνων χώρας ἐξ εὐγενῶν γεννητόρων καὶ εὐσεβῶν καταγόμενος, ἀλλὰ νηπιόθεν τῆς τοῦ γένους λαμπρότητος καὶ τῶν βιωτικῶν ἁπάντων καταφρονήσας, ἐπειδὴ τὰ ἱερὰ γράμματα ἐξεπαιδεύθη, καὶ πλήρης τούτων ἐγένετο, ταῖς ἱεραῖς ἐκκλησίαις ἐσχόλαζε, τὰς θείας γραφὰς καθ' ἑκάστην ἐπαναγιγνώσκων, καὶ βίον λιτόν μετερχόμενος καὶ προϊούσης τῆς ἡλικίας, πᾶσαν τὴν ἔφεσιν αὐτοῦ καὶ ἐπίδοσιν ἀρετῆς, καὶ Θεοῦ ἀρέσκειν ἐπιδούς, πάσῃ σκληραγωγίᾳ καὶ ἐγκρατείᾳ ἑαυτὸν καθυπέβαλλε· οὕτω δὲ πάντα βαθμὸν ἐκκλησιαστικὸν παραλλάξας, ἀσκήσει τε καὶ θείᾳ γνώσει ἐλλαφθεὶς ἔνθερμος κῆρυξ τοῦ Χριστοῦ ἀνεδείξατο. Τοῦ δὲ ἐπισκόπου τῆς ἰδίας πατρίδος τὸν βίον ἀπολιπόντος, ἐκ θείας προνοίας, ψήφῳ τοῦ φιλοχρίστου λαοῦ κανονικῶς ἐπίσκοπος ἀναδειχθεὶς καί περ μὴ βουλόμενος, Ἀρχιερεὺς οὗτος καθίσταται καὶ τῆς οἰκείας πατρίδος τοὺς οἴακας ἐγχειρίζεται· κάλλιστα δὲ διαλάμψας ἐν τῇ Ἐκκλησίᾳ, τὸ τῆς Ἀρχιερωσύνης κατεκόσμησεν ἀξίωμα. Καὶ

---

* Σημ. Ἐκδότου: Τὰ ἐν συνεχείᾳ ἀναγραφόμενα περὶ τοῦ Ἁγίου δὲν ἀναφέρονται εἰς τὰ ἀρχαῖα Συναξάρια. Ἄγνωστον ἐπομένως ἐκ ποίας πηγῆς ἐλήφθησαν ταῦτα.

www.tezaurliturgic.ro

γέγονε διδάσκαλος τῆς ὀρθοδοξίας ἀκριβής, πολλοὺς μὲν τῷ Χριστῷ προσαγόμενος, πολλοὺς δὲ καὶ ἀπὸ διαφόρων αἱρέσεων, εἰς τὴν ἀληθῆ καὶ ὀρθόδοξον πίστιν μεταβαλών. Οὕτως οὖν ἐπὶ πολλοῖς ἔτεσι τοῦ Χριστοῦ ποίμνιον θεαρέστως ποιμάνας, ἐπειδὴ ὁ τῶν ζιζανίων σπορεὺς πόλεμον ἄσπονδον κατὰ τῆς ἐκκλησίας ἐκίνησε, τοῦ μὴ προσκυνεῖν τὰς ἁγίας καὶ σεπτὰς Εἰκόνας, στερρῶς κατὰ τῶν τότε εἰκονομάχων ἀντιταξάμενος, ἤλεγξεν αὐτούς, αἱρετικοὺς καὶ ἀθέους καὶ ἀσεβεῖς ἀποκαλέσας· οἱ δὲ μὴ ἀνεχόμενοι τὰς ὕβρεις, τὰς σάρκας τοῦ Ἁγίου κατέξεον ὄνυξιν. Ὁ δὲ Ἅγιος εὐχαρίστως τὰ πάντα ὑποφέρων ἔλεγεν πρὸς τοὺς παρόντας. «Ὑπὲρ τῆς τοῦ Χριστοῦ καὶ Θεοῦ μου ἁγίας εἰκόνος ἑτοίμως ἔχω μεληδὸν κατατμηθῆναι». Οἱ δὲ ἀλιτήριοι χερσὶ καὶ ποσὶ δεσμεύσαντες τὸν Ἅγιον, ἐναπέρριψαν ζοφώδει φρουρᾷ, καὶ ἐσφραγισμένων τῶν θυρῶν οὐσῶν, Ἄγγελος Κυρίου ἐν τῇ νυκτὶ ἐκείνῃ ἀπέλυσε τὸν Ἅγιον ἐκ τῶν δεσμῶν καὶ κέκληκεν αὐτὸν ἐκ τρίτου καὶ εἶπεν αὐτῷ· «Τάχυνον καὶ πορεύθητι, εἰσηκούσθη ἡ δέησίς σου γνήσιε μαθητὰ τοῦ Χριστοῦ»· τῇ δὲ ἕωθεν ἐξαγαγόντες τὸν Ἅγιον, ὡς εἶδον αὐτὸν ἀμετάθετον τύπτοντες αὐτὸν ἀπεδίωκον. Ὁ δὲ φησὶ πρὸς αὐτούς. «Ἐπειδὴ ἀδιόρθωτοι μένετε, καὶ γαυριόντες ἀλαζονεύεσθε κατ' ἐμοῦ, ἤδη ἔφθασεν ἐφ' ὑμᾶς ἡ ὀργὴ τοῦ Κυρίου ἡμιξήρους ἀποκαθιστῶσα, ἵνα δι' ὑμῶν καὶ οἱ λοιποὶ σωφρονισθῶσιν».

Καὶ ἅμα τῷ λόγῳ, ὡς εἶδος ἀστραπῆς ἐξ οὐρανοῦ κατελθούσης, μετὰ φρικώδους βροντῆς, ἡμιξήρους αὐτοὺς ἀπειργάσατο, ὁ δὲ Ἅγιος μετὰ τῆς θείας ἐκείνης ἐπιφανείας τὴν πόλιν ἐκείνην καταλιπών, ἀνῆλθε προσκυνήσων εἰς Ἱεροσόλυμα· ἐν δὲ τῷ μέλλειν ἀποδημῆσαι τῆς πατρίδος, εὐχαριστηρίους ἀφῆκε φωνάς, ὅτι τὴν πόλιν αὐτοῦ πολυάνθρωπον οὖσαν, καὶ τοσοῦτον τῇ αἱρέσει πλήθουσαν, ἐπὶ τῆς ἐναντίας τάξεως κατέλιπεν, ἅπαντας οὖν τοὺς ἱεροὺς τόπους ἐκείνους πεθιελθών, καὶ τὴν ὠφέλειαν παρ' ἑαυτῷ θησαυρίζων, θαύμασι καὶ τέρασι πολλοὺς κατέπληξεν· ὅθεν καὶ μέγας θαυματουργὸς ἀνεφάνη· ὁ γὰρ τῶν θαυμασίων Θεός, ὁ δοξάζων ἀεὶ τοὺς αὐτὸν ἀντιδοξάζοντας, θαυματουργεῖ τι μέγα καὶ ὑπερφυὲς τεράστιον· ἐπ' αὐτὴν γὰρ τὴν Ἱερουσαλήμ, ἐν μιᾷ τῶν ἡμερῶν περιιόντος τοῦ Ἁγίου, γύναιον ἐξ ἑβραίων αὐτῷ προσυπαντᾷ, οὕτινος τὸν παῖδα τεθνηκότα ἐξεκόμιζον· καὶ οἷα μήτηρ, ἀμέτρως ἐκόπτετο· ταύτην δὲ κατοικτηρίσας ὁ Ἅγιος καὶ τὴν δεξιὰν τῷ τεθνηκότι προτεί-

www.tezaurliturgic.ro



νας «Ἔγειρε, φησίν, ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ, ὃν οἱ ἄνομοι Ἑβραῖοι ἐσταύρωσαν ἐπὶ Ποντίου Πιλάτου». Καὶ ὁ λόγος εὐθὺς ζωτικὴν αὐτοῦ δέδωκεν ἀνέγερσιν. Ἡ δὲ μήτηρ ἐπὶ τὰ ἴχνη τοῦ θαυματουργοῦ Θεράποντος προσπεσοῦσα «Ὃν ἀνέστησας, ἔλεγε, δι᾿ ὕδατος ἀνεγέννησας σὺν ἐμοὶ» καὶ τυχοῦσα τῆς χάριτος, πᾶσιν εὐηγγελίζετο τοῦ υἱοῦ της καὶ τὴν ἀνάστασιν. Μετὰ δὲ ταῦτα χρόνον ἔτι ἱκανὸν ἐκεῖσε διαβιβάσας, καὶ θαύματα μεγάλα τῇ τοῦ Χριστοῦ ἐπικλήσει ἀπεργασόμενος, εἰς τὴν περιφανῆ Κύπρον ἀπέπλει, ἔνθα ξενισθεὶς παρὰ Σωσίῳ τινι χαλεπῶς ἀσθενοῦντι, ἰάσατο αὐτόν, καὶ τὴν γυναῖκα αὐτοῦ, ἐπὶ χρόνοις ἐννέα πυρέσσουσαν ἐπὶ κλίνης, κρατήσας τῆς χειρός, ἀνίστησιν ὑγειᾶ. Καὶ ἕτεροι πολλοὶ νόσους ἔχοντες ποικίλας, ὑγειάνθησαν διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν τοῦ Ἁγίου· καὶ τοὺς αἱρετικοὺς θεοσπασχίτας γενναίως διήλεγξεν· ὅθεν ἐξ αὐτῶν ἄνθρωπός τις αὐθάδης καὶ ὑπερήφανος δέδωκε ῥαπίσματα κατὰ τὸ πρόσωπον τοῦ Ἀρχιερέως τούτου· μεθ᾿ ἡμέρας δὲ μεταμεληθέντος τοῦ αἱρετικοῦ καὶ συγχώρησιν παρὰ τοῦ Ἁγίου ζητήσαντος διὰ τὴν τολμηρίαν, ὁ Ἅγιος οὐκ ἔδωκεν αὐτῷ συγγνώμην, ἀλλ᾿ ἀπεπέμψατο ἐπαρασάμενος αὐτὸν εἶναι κεχωρισμένον τῆς δόξης τοῦ Χριστοῦ· καὶ ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι· εἶπε γὰρ ὅτι τὸν Κύριον εἶδε κατ᾿ ὄναρ ἐν σχήματι παιδίου νεογνόν, ὑπὲρ τὸν Ἥλιον ἐξαστράπτοντα, καὶ περιβεβλημένον λευκὸν χιτῶνα διερρηγμένον ἀπὸ κεφαλῆς μέχρι ποδῶν· ὁ δὲ διαρρήξας τὸν χιτῶνα αὐτὸς ἐστι καὶ οἱ ὁμόφρονες αὐτῷ. Οἱ τοίνυν εὐσεβεῖς τῶν Κυπρίων ἐκπλαγέντες τὴν μεγάλην τοῦ ἀνδρὸς ἀρετήν, καὶ ὁ τότε αὐτῶν Πρόεδρος μαθὼν δι᾿ ἀποκαλύψεως ἅπαντα τὰ κατ᾿ αὐτόν, ἱκέτευον μετὰ παρακλήσεως μένειν ἐν τῇ Νήσῳ τὸν Ἅγιον, ἵνα πολλοῖς ὄφελος καὶ σωτηρία ψυχῆς γένηται, καὶ προΐστασθαι μερικῶς Ἐκκλησίας μιᾶς τῆς κατὰ Κύπρον κειμένης, ἥτις καὶ τῷ αἰγιαλῷ προσεπέλαζε. Γέγονεν οὖν ἐνταῦθα διδάσκαλος τῆς ὀρθοδοξίας ἀκριβέστατος· πρᾶος, ἐλεήμων, ὀρφανῶν πατήρ, χηρῶν ὑπερασπιστής, ὁδηγὸς τῶν πεπλανημένων, τῶν νοσούντων ἰατρὸς καὶ τῶν θλιβομένων παραμυθία, καὶ ἦν ἰδεῖν ἅπαντας χαίροντας καὶ εὐφραινομένους διὰ τὴν πρόνοιαν καὶ δικαιοσύνην αὐτοῦ. Οὐ πολλοῦ δὲ χρόνου παρελθόντος, καὶ ἐπιδρομῆς ἀλλοφύλων Ἀράβων κατὰ τῆς Κύπρου γενομένης (ὁπότε καὶ Μοναστήρια πολλὰ καὶ Ἐκ-

www.tezaurliturgic.ro



κλησίαι ὑπ' αὐτῶν κατεσκάφησαν καὶ πολλοὺς ἀνηλεῶς κατέσφαζον)· συλλαβόντες οἱ διῶκται οὗτοι τῆς τῶν ὀρθοδόξων πίστεως καὶ τὸν Ἅγιον ἐν τῇ Ἐκκλησίᾳ λειτουργοῦντα κατέσφαξαν, οὗ γενομένου, ᾠδαὶ καὶ μελῳδίαι ἀσωμάτων Δυνάμεων περὶ τὸ σῶμα τοῦ μακαρίου Θεράποντος κατεπέμποντο· καὶ τὸ ξένον θέαμα τοὺς πιστοὺς εἰς εὐχαριστίαν Θεοῦ ἐκίνησε· τοὺς δὲ σφαγέας κατέπληττε, καὶ μεταμελεῖσθαι ἐπὶ τῷ ἀνόμῳ τολμήματι ἐβιάζοντο· ὁ δὲ Ἅγιος τοῦ Χριστοῦ Ἱερομάρτυς ὑπὸ τῶν πιστῶν κηδευθεὶς τὴν ἀτελεύτητον καὶ ἀγήρω μακαριότητα κεκλήρωται. Τὸ δὲ τίμιον αὐτοῦ λείψανον, ὥς φασι, μετεκομίσθη εἰς τὴν βασιλεύουσαν τῶν πόλεων.

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

---

Ὠδὴ ζ'. Πῦρ φλέγον ἐν καμίνῳ

Οὐρανός σε ἠδέσθη πρὸς γῆν συρόμενον, Θεράπων μακάριε, ἐν τῷ κόσμῳ γέγονας, ὑπὲρ Χριστοῦ ἐναθλήσας, καὶ τούτων ὑμνῶν τὸν τῶν πατέρων Θεόν ἡμῶν.

Ἐν πτέρναις σου ὑποίσας πικρὰν διάτρησιν, ἔτρωσας τὸν δόλιον, καὶ πτερνίσας ἔρριψας ὑπὸ τοὺς πόδας σου μάκαρ, δοξάζων Χριστὸν τὸν τῶν πατέρων Θεὸν ἡμῶν.

Τριαδικόν.

Τρισήλιε Θεότης ὁμοβασίλειε, ἄναρχε ἀΐδιε Πάτερ, υἱὲ καὶ πνεῦμα τὸ ἅγιον. Σὲ προσκυνοῦμεν ψάλλοντες, εὐλογητὸς εἷς μόνος Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Θεοτοκίον.

Ὢ φρικτοῦ μυστηρίου, Ὢ ξένου θαύματος, πῶς καὶ μήτηρ πέφηνας καὶ παρθένος ἔμεινας εὐλογημένη

www.tezaurliturgic.ro



μόνη, τεκοῦσα ἡμῖν τὸν τῶν πατέρων Θεὸν ἡμῶν.

Ἕτερος. Παῖδες Ἑβραίων ἐν καμίνῳ.

Τάγματα χαίρει τῶν Ἀγγέλων, τὸν ἰσάγγελον θεώμενα σὺν αὐτοῖς, αὐλιζόμενον νῦν καὶ μέλποντα ἀπαύστως, εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Αἵματι σῷ καταποικίλας Πάτερ Ὅσιε, στολὴν τὴν ἱεράν σου, μεθ' ἧς καὶ εἰσελθὼν τῇ ἄνω Ἐκκλησίᾳ, σὺν Ἱεράρχαις ψάλλεις νῦν, ὁ Θεὸς εὐλογητὸς εἶ.

Ἔχων μυρίας πλημμελίας, ἐν μυχοῖς καταδεδίκασμαι τοῦ Ἅδου, Σοὶ κραυγάζω Χριστὲ πρεσβείαις τοῦ ὁπλίτου, Θεράποντος ἀνάγαγε, ἵνα μέλπω εἰς αἰῶνας.

Πάλη παρέστης Θεοφόρε, τῶν καμάτων σου τὰ γέρρα ἵνα λήψῃ, παρὰ Χριστοῦ τοῦ Θεοῦ, πρὸς ὃν καὶ ἀναμέλπεις καὶ εὐλογεῖς γηθόμενος εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

Ἄνανδρος μήτηρ καὶ Παρθένος, θαῦμα μέγιστον τῆς φύσεως οἱ ὅροι, καταργοῦνται ἐν σοί, γεννᾶς γὰρ τὸν προόντα, ποιητὴν τῆς φύσεως, ὃν δοξάζω εἰς αἰῶνας.

Ὠδὴ η'. Γῆ καὶ πάντα τὰ ἐν αὐτῇ.

Γῆ τὸ αἷμα σου μυρωδεῖ, ἄνωθεν ὑμνεῖ σε Οὐρανός, λογογραφοῦμεν δὲ ἡμεῖς τὰ ὡραῖα ἆθλα σου μάκαρ καὶ λαμπρῶς ἐκβοῶμεν, ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Πῦρ καὶ ξῖφος μὴ πτοηθείς, γέγονας ὁπλίτης τοῦ Χριστοῦ, ἐν παντευχίᾳ μυστικῇ, τὸν Βελίαρ σκυλεύσας μάκαρ καὶ πιστῶς ἀνακράζων· Ἱερεῖς εὐλογεῖτε λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

www.tezaurliturgic.ro


Τριαδικόν.

Θεὸν δοξάζω ἐπὶ πατρός, σύμφωνα ὑμνῶ σε ἐπὶ Υἱοῦ καὶ ἐπὶ πνεύματος δι᾽ αὐτὸν, φύσιν κράτος πλὴν τῶν προσώπων εἷς Θεὸς γὰρ τὰ τρία· ὅν ὑμνοῦντες αἰνοῦμεν ὡς Κύριον καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Νοῦς τὸ θαῦμα οὐκ ἐγχωρεῖ, γλῶσσα δὲ εἰπεῖν ἐξαπορεῖ, ὅτι κύει ἄνευ σπορᾶς. Παρθένος ἔτεκε καὶ Παρθένος ἔμεινε· ἣν δυσωποῦντες ὑμνοῦμεν τὸν Κύριον καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ἕτερος. Ἑπταπλασίως κάμινον.

Ἵνα Χριστὸν γηθόμενος, ἀναμέλπω Σωτῆρά μου, τὸν ἐν Οὐρανοῖς ἀγγελικὸν διάκοσμον ἡμῖν καθυπέδειξε, καὶ ἐπὶ γῆς τοὺς μάρτυρας νῦν πρέσβεας, φρουρούς, καὶ σὺν αὐτοῖς ὁ Θεράπων συμψάλλει τῷ Δεσπότῃ, Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ναῦς ἐοικεῖα μέγιστον, ἀρετῶν φόρτον φέρουσα, ἔνδοξε Θεράπων, καὶ Ἀγγέλους ηὔφρανας, ἀσκήσει τὸ πρότερον, καὶ τῇ ἀθλήσει αὖθις νικῶν, αἵμασι τοῖς σοῖς, τὸν παλαμναῖον βυθίσας ἐχθρόν, ὅθεν καὶ μέλπεις ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦται εἰς πάντας τοὺς αἰῶνας.

Οἱ ἱερεῖς σου Κύριε, ἐνδυθήσονται θώρακα τὴν δικαιοσύνην, ὁ Δαβίδ προέφησε, καὶ τὴν ἀγαλλίασιν, τοῦ σωτηρίου τὴν ἀληθῆ· ὅθεν ὁ σοφὸς ἱερομύστης Θεράπων, φορέσας σε ἀνῆλθεν, εἰς ναὸν οὐράνιον, ἐν αἵματι ἰδίῳ, καὶ χαίρει δοξάζειν Σε Χριστὲ εἰς τοὺς αἰῶνας.

Ἵνα πιστοὶ λατρεύσωμεν τὴν Τριάδα ἀμέριστον, λόγον ἐκ Πατρός, γεννητικῶς αὐγάζοντα, Πνεῦμα δογμα-

www.tezaurliturgic.ro



τίζοντες, αὖθις ἐκ μόνου προβλητικῶς τοῦ Πατρός. Οὐσίαν καὶ θεότητα μίαν Θεράπων ἐκδιδάσκει τοὺς λαοὺς ἀναμέλπειν, συμφώνως καὶ δοξάζειν αὐτὴν εἰς τοὺς αἰῶνας.

Θεοτοκίον

Σύνεσιν θείαν δίδωσιν Δανιὴλ τῷ Θεόφρονι, Θεὸς ὁ τὸ εἶναι τοῖς βροτοῖς δωρούμενος, διὸ καὶ προέφησεν, ἀνιστορῶν ἡμῖν τὸν Χριστόν, λίθον ὡς ἐξ ὄρους τῆς Παρθένου τμηθέντα, ὅς λεπτυνεῖ λικμίσει, ξοάνων πᾶσαν πλάνην, λαούς τε διασώσει, εἰς πάντας τοὺς αἰῶνας,

Καταβασία. Παῖδες εὐαγεῖς ἐν τῇ καμίνῳ.

Ὠδὴ θ΄. Τὸν ἄσπορον τόκον σου.

Ημέραν ἀθλήσεως λαμπρῶς ἑορτάζοντες, τοῦ Θείου Θεράποντος ἐν ὕμνοις τὸν Σωτῆρα μεγαλύνομεν.

Σκεῦος ἱερόχρυσον ἱερᾶς ἀθλήσεως, Χριστοῦ τῇ ἐκκλησίᾳ τὸν μάρτυρα ὑμνοῦντες μεγαλύνομεν.

Χριστός σοι ἐδωρήσατο στέφος τὸ ἀμάραντον, πολύαθλε Θεράπων. Σὲ πίστει ἀνυμνοῦντες μεγαλύνομεν.

Θεοτοκίον

Χαίροις ἀειπάρθενε ἐλπὶς τοῦ κόσμου Δέσποινα Μαρία Θεοτόκε, ὕμνοις σὲ ἀσιγήτοις σὲ μεγαλύνομεν.

Ἕτερος. Ἐξέστη ἐπὶ τούτῳ οὐρανός.

Συγχαίρει πᾶσα πόλις, ἄγει φαιδρὰν τὴν Κυπρίων πανήγυριν σήμερον, μνήμην τὴν σήν, Πάτερ ἐκτελοῦσα ἱκετευτικῶς, προβαλλομένη πρέσβυν σε· ἔχων παρρησίαν οὖν πρὸς Χριστόν, μὴ παύσει ἱκετεύειν τοῦ ρύσασθαι κινδύνων πάντας τοὺς πίστει δεομένους σου.

www.tezaurliturgic.ro



Τὸν θύταθλον ἐν ὕμνοις δεῦτε πιστοί, τῶν Κυπρίων τὸ μέγιστον ἔρεισμα, Ἱεραρχῶν, κλέος καὶ Μαρτύρων ἰσαθλητήν, συμφώνως ἀνυμνήσωμεν, τὸν ὑπὲρ τῆς ποίμνης τῆς ἑαυτοῦ, τὸ αἷμα λύτρον δόντα· διὸ νῦν καὶ πρεσβεύεις ἀδιαλείπτως, τοῦ σωθῆναι ἡμᾶς.

Ἐκκέχυται ἡ χάρις τῇ σῇ σορῷ, τῶν λειψάνων καὶ βρύει ἰάματα, παντοδαπά, δαίμονας ἐλαύνει ἐκ τῶν βροτῶν, τῶν πίστει προσιόντων σοι, πάντα τε νοσήματα χαλεπά, καὶ σώζει ἐκ κινδύνων, τοὺς πίστει τὴν φωσφόρον ἐπιτελοῦντας σου πανήγυριν.

Φωνήν σοι ἱκετήριον προσφωνῶ καὶ βοῶ σοι, Λιτάνευσον Ἅγιε τὸν λυτρωτήν, δοῦναί μοι τὴν λύσιν, ὧν περ ἑκὼν καὶ ἄκων ἐπλημμέλησα, καὶ ἐκ δεξιῶν με στῆναι αὐτοῦ τῇ σῇ πρεσβείᾳ, ὅπως σωζόμενος δοξάζω, τὸν εὐεργέτην καὶ σωτῆρα μου.

Θεοτοκίον

Ὢ θαῦμα τῶν θαυμάτων! Ἀδυνατεῖ νοῦς βροτῶν καὶ Ἀγγέλων νοῆσαί σου, τοῦ φοβεροῦ κόρη μυστηρίου ὕψος· καὶ γάρ, παιδίον τίκτεις, ἄνωθεν, φύσεως νομίμων, οὐκ ἐξ ἀνδρός, παρθένος γὰρ πρὸ τόκου, ὡς καὶ μετὰ τόκον, καὶ ἐν τόκῳ μένει ἄφθορος.

Καταβασία. Ἅπας γηγενής.

Ἐξαποστειλάριον. Πρῶτον τῆς ἑορτῆς.

Εἶτα τὰ παρόντα.

Ἦχος β'. Γυναῖκες ἀκουτίσθητε.

Ὡς τετρωμένος ἔρωτι, ἀγάπης τοῦ Κυρίου σου, ὁ ἐμὸς ἔρως ἐβόας, Χριστὸς ἐσταύρωται θέλων· διὸ διψῶν τοῦ διψᾶσθαι· καὶ ζῶν ἐρῶν τοῦ ἐρᾶσθαι, οὗ κοινωνὸς γενήσεσθαι, ἐπιποθῶ Ἱεράρχα καὶ τῆς αὐτοῦ βασιλείας.

www.tezaurliturgic.ro



Ἕτερον. Τοῖς μαθηταῖς συνέλθωμεν.

Τὸν ἱεράρχην ἅπαντες, δεῦτε οἱ συνδραμόντες Θεράποντα θεάσασθε, ὡς πατοῦντα τὴν κάραν, τοῦ δολίου Βελίαρ· λαοὺς γὰρ διασώσας, καὶ ποιμάνας ἀρίστως, καὶ ἀθλήσας ἀνῆλθε στεφηφορῶν, παρὰ Χριστοῦ ληψόμενος τὰ βραβεῖα, ἵνα Τριάδι πάντοτε, ὑπὲρ πάντων πρεσβεύῃ.

Θεοτοκίον.

Τετυρωμένον Πάναγνε, καὶ πιώτατον ὄρος, Δαβὶδ Θεογεννήτρια, μελῳδῶν σε ἐκάλει, ὁ σὸς προπάτωρ Παρθένε, Σολομὼν δὲ ὁ θεῖος, κλίνην σαφῶς τοῖς ᾄσμασιν. Ἡσαΐας δὲ ῥάβδον καὶ Ἰακώβ, κλίμακα Σε εἶδε πύλην δὲ ἄλλος, ἐξ ἧς ὁ Θεὸς τὸ φύραμα νεουργεῖ τῶν ἀνθρώπων,

Τὸ Πᾶσα πνοή. Εἰς τοὺς Αἴνους· ἱστῶμεν στιχ. δ' καὶ ψάλλομεν τὰ παρόντα στιχηρὰ προσόμοια, δευτεροῦντες τὸ πρῶτον.

Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.

Τῆς ἀσεβείας καθεῖλες τὰ ὀχυρώματα, ἐν τῇ ὑπομονῇ σου, ἀθλοφόρε Κυρίου, καὶ νίκην οὐρανόθεν ἐδέξω σοφέ· μὴ οὖν παύσῃ δεόμενος, ὑπὲρ τῶν πίστει τελούντων τὴν ἱεράν, καὶ πανένδοξόν σου ἄθλησιν.

Τοὺς ἱερούς σου ἀγῶνας, πιστῶς γεραίρομεν, ἀθλητικοῖς καμάτοις, οὓς διήνυσας χαίρων. Θεράποντα τρισμάκαρ ὑπὲρ Χριστοῦ, τὸν σταυρὸν ὑπομείναντος, καὶ τὴν ἁγίαν σου μνήμην περιχαρῶς, ἑορτάζομεν ἐν ᾄσμασιν.

Ἡ τῶν λειψάνων σου θήκη ἱερομάρτυς Χριστοῦ, ὡς ποταμὸς ἐκβλύζει, τῶν ἰάσεων ῥεῖθρα· καὶ πάντων καταρδεύει τῶν εὐσεβῶν, τὰς καρδίας Θεράποντα· τῶν προσφευγόντων ἑκάστοτε ἐν αὐτῇ, καὶ ὑμνούντων τοὺς ἀγῶνάς σου.

www.tezaurliturgic.ro

Εἰ βούλει ψάλλε τάδε :

Ἦχος δ'. Ἔδωκας σημείωσιν.

Δρόμον τῆς ἀθλήσεως, καὶ τῆς ἀσκήσεως πρότερον, ἐκτελέσας πανόλβιε, θύων καὶ θυόμενος μαρτυρίου κλέος, Θεράπων ἐκτήσω, καὶ τὸν ἀρχέκακον ἐχθρόν, τιμίοις αἵμασι σοῖς ἀπέπνιξας, καὶ χαίρων ἀνελήλυθας, συναυλιζόμενος Μάρτυσι· τὸν Χριστὸν οὖν ἱκέτευε ὑπὲρ τῶν εὐφημούντων σε.

Οἰκείῳ ἐν ἅρματι, οὐκ ἀλλοτρίῳ ἐπέχρωσας, ἱερὰν διπλοΐδα σου· μεθ' ἧς ἱερούργησας ἱερὰς θυσίας, ἀναιμάκτους πάλαι, χερσὶν ἀνόμων δὲ τιθείς, Χριστῷ προσήνεγκας δῆμον ἅγιον, καὶ μάρτυρας ἀπέδειξας, συμπρεσβευτὰς προσλαβόμενος, τὸν Χριστὸν οὖν ἱκέτευε ὑπὲρ τῶν δεομένων σου.

Σήμερον πανήγυριν, Κυπρίων ἄγει τὸ σύστημα, τῇ σῇ μνήμῃ φαιδρύνεται, Θεράποντα ἔχον σε, τὸν πάλαι ποιμένα, Θεῖον πολιοῦχον καὶ πρὸς Χριστὸν ὑφηγητήν, κατεφωτίσθη σαῖς παραινέσεσι. Χριστὸν ἐνστερνισάμενον, δαιμόνων πλάνη ἀπέδρασεν, ὑπὲρ σοῦ καὶ νῦν πρέσβευε, λυτρωθῆναι κακώσεων.

Δόξα· ἦχος πλ. β'.

Δεῦτε φιλομάρτυρες λαοί, χορεύοντες ᾄσωμεν, ᾀσματικαῖς ὑμνῳδίαις τὸν ἱερομάρτυρα Χριστοῦ εὐφημοῦντες, ἄνθεσιν ἐαρινοῖς καὶ καταστέψωμεν πιστοί, ὡς νικητὴν ἀσεβείας, καὶ μάρτυρα στερρὸν τῆς τριφαοῦς Θεότητος, βοῶντες αὐτῷ καὶ λέγοντες· Θεράπων πολύαθλε ἐξέλαμψας ὡς Ἥλιος, οἴκων τὸ δεσμωτήριον, ὅτι ἐκεῖ τὸ φῶς τὸ ἄδυτον Χριστός σοι ἐπεφάνη, λόγους παρακλήσεως ὡς τῷ Παύλῳ φωνῶν σοι. Δι' ὃ ἱκέτευε τὸν Κύριον, καρτερόφρων ἀθλητά, ἐκ κινδύνων λυτρωθῆναι, ὑπὲρ τῶν πίστει καὶ πόθῳ ἐκτελούντων

www.tezaurliturgic.ro



τὴν μνήμην σου.

Καὶ νῦν· τῆς ἑορτῆς ἢ τὸ ἀκόλουθον Θεοτοκίον·

Θεοτόκε Σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή, ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς. Σὲ ἱκετεύομεν πρέσβευε Δέσποινα μετὰ τοῦ Ἱεράρχου, καὶ πάντων τῶν Ἁγίων ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Δοξολογία μεγάλη καὶ ἀπόλυσις.

Δίδεται ἅγιον ἔλαιον τοῖς ἀδελφοῖς.

Εἰς τὴν Λειτουργίαν τὰ τυπικὰ καὶ ἐκ τοῦ Κανόνος ᾠδὴ γ' καὶ ς'

Ἀπόστολος. Προκείμενον ἦχος βαρύς.

Εὐφρανθήσεται δίκαιος ἐν Κυρίῳ.

Στιχ. Εἰσάκουσον ὁ Θεὸς τῆς φωνῆς μου.

Πρὸς Τιμόθεον Β' ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα

Τέκνον Τιμόθεε ἐνδυναμοῦ (Ὅρα 26 Ὀκτωβρίου).

Ἀλληλούϊα ἦχος δ'. Στιχ. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει

Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ἰωάννην.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς. Ταῦτα ἐντέλλομαι ὑμῖν ἵνα ἀγαπᾶτε ἀλλήλους. (Ὅρα 23 Ἀπριλίου τὸ τῆς Λειτουργίας).

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος.

---

Ἐν τέλει τῆς ἱερᾶς ταύτης ἀκολουθίας παρατίθεται ὁ παρὼν ὕμνος ψαλλόμενος εἰς ἦχον δ' πρὸς τὸ

*Ὁ Ὑψωθεὶς ἐν τῷ Σταυρῷ* (*)

Τῇ ἱερᾷ καὶ ζωηρρήτῳ πηγῇ σου
Πεπλουτισμένη ποικιλίᾳ θαυμάτων,
Πάντες πιστοὶ προστρέχοντες πιστῶς καὶ εὐλαβῶς·
Πλοῦτον ἀρυόμεθα ἐξαισίων θαυμάτων
Καὶ φαιδρῶς γεραίρομεν τοὺς σεπτούς σου ἀγῶνας
Οὓς περ ὑπήνεγκας ὑπὲρ Χριστοῦ τοῦ Θεοῦ,
Μεγαλομάρτυς Θεράπων θαυμάσιε.

---

* Εἰ βούλει μέλψον τοῦτο ἐν τοῖς διστίχοις, ἀντὶ μεγαλυναρίου.

www.tezaurliturgic.ro

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ

## Εἰς τὸν Ἅγιον

## Ἱερομάρτυρα καὶ Θαυματουργὸν

# ΘΕΡΑΠΟΝΤΑ

---

Μετὰ τὸν Εὐλογητόν, τὸ Κύριε εἰσάκουσον...
Εἶτα τό, Θεὸς Κύριος, καὶ τὸ Τροπάριον Ἦχος Δ'
Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ...

Τῇ ἱερᾷ καὶ ζωηρρύτῳ Πηγῇ σου, πεπλουτισμένῃ ποικιλίᾳ θαυμάτων, πάντες Πιστοὶ προστρέχοντες πιστῶς καὶ εὐλαβῶς, πλοῦτον ἀρυόμεθα ἐξαισίων θαυμάτων, καὶ φαιδρῶς γεραίρομεν τοὺς σεπτούς σου ἀγῶνας, οὕς περ ὑπήνεγκας ὑπὲρ Χριστοῦ, μεγαλομάρτυς Θεράπων θαυμάσιε.

Δόξα καὶ Νῦν, Θεοτοκίον. Οὐ σιωπήσωμεν...
Ὁ Ν'. καὶ ὁ Κανὼν Ἦχος Πλ. Δ'
Ὠδὴ Α'. Ἦχος Πλ. Δ'. Ὑγρὰν διοδεύσας.

Ταῖς θερμαῖς πρεσβείαις σου, Ἀθλητὰ Ἅγιε Θεράπων, δὸς τῷ δούλῳ σου ἐκ τῶν σῶν χαρίτων ψεκάδας ὅπως ᾄσω, τοὺς ὑπὲρ λόγον καὶ ἔννοιαν ἄθλους σου.

Πολλὴν παρρησίαν πρὸς τὸν Θεὸν ἔχων, ὦ Θεράπων τοὺς προστρέχοντας εὐλαβῶς τῇ σεπτῇ Πηγῇ σου, Ἀθλοφόρε, ἐκ τῶν παθῶν ταῖς εὐχαῖς σου διάσωσον.

Ρῦσαι ταῖς δεήσεσιν, Ἀθλητά, Ἔνδοξε Θεράπων τοὺς πηγῇ σου τῇ ἱερᾷ, προσιόντας πόθῳ τε καὶ πίστει

www.tezaurliturgic.ro



ἐξ ἀνιάτων παθῶν ταῖς πρεσβείαις σου.

Θεοτοκίον

Συνέτισον τὸν δοῦλον σου, Μαριάμ, ἄνοιξόν μοι πύλας μετανοίας, καὶ ἐκ τῶν πυλῶν τῆς θανατηφόρου ἁμαρτίας, τῇ μεσιτείᾳ σου ῥῦσαι με, Δέσποινα.

Ὠδὴ Γ'. Σὺ εἶ τὸ στερέωμα

Φάνηθι τοῖς δούλοις σου, Μάρτυς Θεράπων, προστάτης ἔνθεος, καὶ τῶν κακῶν, σώζων σαῖς πρεσβείαις, ἀβλαβεῖς ἡμᾶς τήρησον.

Ὅπως ἀπολαύσωμεν παθῶν καὶ νόσων τὴν ἀπολύτρωσιν, τῇ σῇ Πηγῇ, προστρέχομεν πίστει, ὦ Θεράπων Πανεύφημε.

Τοῖς μεταλαμβάνουσι, τὰ τῆς Πηγῆς σου πάνσεπτα νάματα, πανευμενῶς παρέχεις, Θεράπων, ἰαμάτων χαρίσματα.

Θεοτοκίον

Ἐπίσκεψε Ἄχραντε, νοσηλευόμενον δοῦλον σου, καὶ τῆς δεινῆς, ἀλγηδόνος ῥῦσαι, καὶ παντοίας με θλίψεως.

Ὠδὴ Δ'. Εἰσακήκοα Κύριε

Ἡ ὑπέρφωτος ἔλλαμψις, τοῦ Παντοδυνάμου, Θεράπων Πνεύματος, τῇ ψυχῇ σου ἐνοικήσασα, τοὺς Πιστοὺς φωτίζει σε ἀξίωσεν.

Ἀθλητῶν συμπαθέστατος πάντων πεφηνώς, Θεράπων Μακάριε, τὴν ὑγείαν δὸς πρεσβείαις σου, τοῖς τυραννουμένοις δεινοῖς πάθεσιν.

Ὦ Θεράπων Μακάριε, τοὺς πιστῶς τιμῶντας καὶ εὐφημοῦντας σε, μεσιτείᾳ σου εἰρήνευσον καὶ παθῶν ποικίλων ἐλευθέρωσον.

www.tezaurliturgic.ro

Θεοτοκίον

Ρῶσιν δίδου μοι, Δέσποινα, καὶ τὴν σηπεδόνα ψυχῆς μου ξήρανον, καὶ κινδύνων με ἐξάρπασον, καὶ τῆς κατεχούσης ἀπογνώσεως.

Ὠδὴ Ε΄. Φώτισον ἡμᾶς.

Φίλος ἀληθής, τοῦ Δεσπότου ὤν, Πανεύφημε, φύλαττε ἡμᾶς τοὺς σὲ ἀνυμνοῦντας, ὦ Ἀθλοφόρε Θεράπων καὶ μακαρίζοντας.

Ρῦσαι τοὺς πιστῶς, εὐφημοῦντας τοὺς ἀγῶνας σου νόσων τε δεινῶν καὶ πάσης κακώσεως, Ἱερομάρτυς τοῦ Χριστοῦ Θεράπων Ἔνδοξε.

Ὤφθης εὐμενής, σὺ προστάτης τοῦ οἰκέτου σου. Διό σοι προσφέρω ᾠδήν, ὦ Θεράπων, κατ᾽ ὀφειλήν μοι ἀληθῶς εὐχαριστήριον.

Θεοτοκίον

Ἅπαντα ἐχθρόν, δυσμενῶς ἐπιτιθέμενον, ἡμῖν τοῖς δούλοις σου, Πανάμωμε, θείῳ σου κράτει συμπαροῦσα ἐξαφάνισον.

Ὠδὴ ΣΤ΄. Ἱλάσθητί μοι

Ἀρύσασθε, ὦ Πιστοί, ἰάματα μὴ κενούμενα, ἐκ τῆς Πηγῆς τοῦ Σεπτοῦ Θεράποντος Μάρτυρος, δεινῶν ἀπαλλαττόμενος, καὶ παντοίων νόσων, τοὺς αὐτὸν ἀεὶ γεραίροντας.

Ἀσθενειῶν καὶ δεινῶν, κινδύνων ἡμᾶς ἀπάλλαξον, Ἱερομάρτυς Χριστοῦ, Θεράπων Μακάριε, ταῖς θείαις πρεσβείαις σου, τοὺς σὲ ἀνυμνοῦντας, καὶ τιμῶντας τὴν Εἰκόνα σου.

Θεράπων θαυματουργέ, τοὺς εὐλαβῶς σοι προστρέχοντας, ἐκ πάντων τῶν βλαβερῶν καὶ νόσων διάσωσον, λιταῖς σου Πανάγιε, ταῖς πανευπροσδέκτοις,

www.tezaurliturgic.ro


καὶ πταισμάτων δὸς τὴν ἄφεσιν.

Θεοτοκίον

Φωτὶ ἀπείρῳ τοῦ σοῦ, προσώπου με καταλάμπρυνον, Παρθενομῆτορ Ἁγνή, βυθοῦ ἀπογνώσεως, ἀεὶ ἀπαλλάττουσα, καὶ πρὸς μετανοίας τοὺς λιμένας ἐκβιβάζουσα.

Διάσωσον παντὸς κινδύνου, νόσων τε καὶ πταισμάτων, τοὺς εἰλικρινῶς σοι, Θεράπων προστρέχοντας, πρεσβείαις σου ἱεραῖς πρὸς τὸν Κτίστην.

Καὶ Θεοτοκίον. Ἄχραντε...
Ὁ Ἱερεὺς μνημονεύει. Εἶτα τὸ Κοντάκιον Ἦχος Β'
Τὰ ἄνω ζητῶν

Ὡς Μάρτυρα Χριστοῦ καὶ φίλον δοξάζομεν, αἰτοῦντες εὐλαβῶς τὴν θερμήν σου ἀντίληψιν, Θεράπων Πανάγιε, ἥν παράσχου ἡμῖν τοῖς οἰκέταις σου, τοῖς τῇ Πηγῇ σου προστρέχουσι, ῥυόμενος κινδύνων καὶ ἀδοκήτων ἡμᾶς δεινῶν.

Καὶ εὐθὺς τὸ Προκείμενον Ἦχος Δ'

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ. Ὁ Θεὸς Ἰσραὴλ αὐτὸς δώσει δύναμιν καὶ κραταίωσιν τῷ λαῷ αὐτοῦ. Εὐλογητὸς ὁ Θεός.

Στίχος. Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην
καὶ οἱ Ὅσιοί σου ἀγαλλιάσονται.

Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ματθαῖον

Τῷ καιρῷ ἐκείνῳ, προσκαλεσάμενος ὁ Ἰησοῦς τοὺς δώδεκα Μαθητὰς αὐτοῦ ἔδωκεν αὐτοῖς ἐξουσίαν κατὰ πνευμάτων ἀκαθάρτων, ὥστε ἐκβάλλειν αὐτά, καὶ θεραπεύειν πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν. Τούτους ἀπέστειλεν ὁ Ἰησοῦς, παραγγείλας αὐτοῖς λέγων. Εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε καὶ εἰς πόλιν Σα-

www.tezaurliturgic.ro


μαριτῶν μὴ εἰσέλθητε· πορεύεσθε δὲ μᾶλλον πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. Πορευόμενοι δὲ κηρύσσετε, λέγοντες. Ὅτι ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν. Ἀσθενοῦντας θεραπεύετε, λεπροὺς καθαρίζετε, νεκροὺς ἐγείρετε, δαιμόνια ἐκβάλλετε, δωρεὰν ἐλάβετε, δωρεὰν δότε.

Δόξα...

Ταῖς τοῦ Ἀθλοφόρου πρεσβείαις ἐλεῆμον...

Καὶ νῦν... Ταῖς τῆς Θεοτόκου...

Στίχος. Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός... Καὶ τὸ παρὸν προσόμοιον. Ἦχος Πλ. Β'

Ἀπαλλαγὴ παντὸς κινδύνου, παθῶν ποικίλων καὶ νόσων ὑπάρχουσα ἡ Πηγή σου, Θεράπων, ρῶσιν πᾶσι τοῖς πιστῶς αὐτῇ προσιοῦσι παρέχει, καὶ ἐκ κινδύνων ἀπαλλάττει, τῇ θείᾳ σου πρεσβείᾳ Ἱεράρχα.

Τὸ Σῶσον ὁ Θεὸς τὸν Λαόν σου κλπ.

Ὠδὴ Ζ' Οἱ ἐκ τῆς Ἰουδαίας

Τῶν Κυπρέων τό κλέος, καὶ ἑώας ἡ δόξα, Θεράπων Ἅγιε, ἀθλήσας ἐδοξάσθης καὶ νῦν ἐν Οὐρανίοις κατοικῶν τοῖς σκηνώμασιν, ἡμῶν τῶν σὲ ὑμνούντων μνημόνευε Παμμάκαρ.

Ὡς φωστὴρ φαεσφόρος καὶ κλεινὸς Ἱεράρχης, Θεράπων ἔνδοξε, ἀνέτειλας ἀκτῖσιν ἀθλήσεως φωτίζων τῶν πιστῶν τὰ συστήματα, καὶ τοῖς νόσοις δειναῖς δωρούμενος ὑγείαν.

Τὸν ἐκ σοῦ κηρυχθέντα, προαιώνιον Λόγον Θεὸν καὶ ἄνθρωπον, ἱκέτευε, Θεράπων, ὑπὲρ τῶν ἀνυμνούντων τὴν σὴν ἔνδοξον ἄθλησιν, καὶ σαῖς λιταῖς δὸς αὐτοῖς ψυχῆς τὴν σωτηρίαν.

Θεοτοκίον

www.tezaurliturgic.ro



Ἐξ ἱδρώτων καὶ πόνων, στεναγμῶν τε καρδίας, Θεογεννήτρια, συναίσθησις γεννᾶται, ἀπάθεια δ' ἐκ ταύτης, ἧς καὶ φθάσαι τοὺς πρόποδας, ἀξιωθείην ἐγὼ ὁ πταίσας ὑπὲρ πάντας.

Ὠδὴ Η' Τὸν Βασιλέα

Τοὺς προστασίας τῆς παρὰ σοῦ δεομένους μὴ παρίδης Θεράπων, τιμῶντας καὶ ἀσπαζομένους τὴν θείαν σου Εἰκόνα.

Νόσων παντοίων τὰς προσβολὰς ἐκδιώκεις, καὶ κινδύνων παντοίων Θεράπων, ἐκ τῶν προσιόντων Πηγῇ σου τῇ ἁγίᾳ.

Θεὸν τῶν ὅλων, σὺ ὦ Θεράπων, δυσώπει, καταπέμψαι ἡμῖν τὴν εἰρήνην, καὶ τῶν ἐνοχλούντων δεινῶν ἡμᾶς λυτρῶσαι.

Θεοτοκίον

Ἵνα δοξάζω, καὶ προσκυνῶ μετὰ δέους, σοῦ τὸ πάνσεπτον ὄνομα, Κόρη, θλίψεώς με πάσης ἐκλύτρωσαι καὶ βλάβης.

Ὠδὴ Θ' Κυρίως Θεοτόκον...

Τοῖς πίστει προσιοῦσι τῇ θείᾳ Πηγῇ σου καὶ ἀνυμνοῦσι, Θεράπων τοὺς ἄθλους σου, ἁμαρτημάτων τὴν λύσιν, εὐχαῖς σου δώρησαι.

Ὡς ἔχων παρρησίαν, ἔνδοξε Θεράπων, πρὸς τὸν Σωτῆρα τῶν ὅλων καὶ Κύριον, ῥῶσιν σεπταῖς σου λιταῖς ἡμῖν πᾶσι δώρησαι.

Τοῖς πόθῳ εὐφημοῦσι, πάντιμε Θεράπων, τοὺς ἱεροὺς καὶ γενναίους ἀγῶνας σου, ἁμαρτημάτων τὴν λύσιν δίδου πρεσβείαις σου.

Θεοτοκίον

www.tezaurliturgic.ro


Μαρία Θεοτόκε, τοὺς πίστει τιμῶντας καὶ προσκυνοῦντας τὸν Τόκον σου, Πάναγνε, ἁμαρτιῶν καὶ δεινῶν ῥῦσαι, πρεσβείαις σου.

Τὸ Ἄξιον ἐστι, καὶ τὰ παρόντα Μεγαλυνάρια

Τοὺς μετ' εὐλαβείας τῇ ἱερᾷ, καὶ θείᾳ Πηγῇ σου προσιόντας ταῖς πρὸς Χριστόν, θερμαῖς σου πρεσβείαις, ῥυόμενος μὴ παύσῃ, κινδύνων ἀδοκήτων, Θεράπων Πάντιμε.

Ρῶσιν δὸς τῷ δούλῳ σου, Ἀθλητά, ἔνδοξε Θεράπων ὡς τὴν χάριν παρὰ Θεοῦ, τοῦ σώζειν ἀξίως λαβών, παντὸς κινδύνου, τοὺς τῇ σεπτῇ Πηγῇ σου θερμῶς προστρέχοντας.

Παθῶν ταραττόμενος προσβολαῖς, πρὸς σὲ καταφεύγω τὴν ἀνάρρωσιν ἐκζητῶν, Θεράπων Κυρίου Ἱεράρχα καὶ Μάρτυς, ἐκ τούτων οὖν ἁπάντων, σὺ μὲ ἀπάλλαξον.

Χάριν τῶν θαυμάτων παρὰ Θεοῦ λαβών, Ἱεράρχα, θεραπεύεις πάθη δεινά· διὸ τῶν πιστῶν σου τῇ Πηγῇ προσιόντων, θεράπευσον τὰ πάθη, Θεράπων ἔνδοξε.

Καὶ τὸ Πᾶσαι τῶν Ἀγγέλων..,

Τρισάγιον. Καὶ τὸ Τροπάριον, Ἦχος Γ'

Μέγαν εὕρατο ἡ Κωνσταντίνου, ῥύστην πρόμαχον καὶ Ἰατῆρα, νόσων παντοίων, Θεράπων Πανεύφημε, ὡς οὖν Τυράννου καθεῖλες τὴν δύναμιν, καὶ ἐν σταδίῳ τὸν Χριστὸν Θεὸν ὡμολόγησας, οὕτω, Πάνσεπτε, αὐτὸν ἐκτενῶς ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Ὁ Ἱερεὺς μνημονεύει ὡς ἔθος.

Ἐν τῇ Ἀπολύσει, ψάλλομεν τὸ παρὸν Προσόμιον Ἦχος Β

www.tezaurliturgic.ro



"Ότε ἐκ τοῦ ξύλου σε νεκρόν...

Μάρτυς Ἱεράρχα τοῦ Χριστοῦ, παῦσον ἱκεσίαις σου πᾶσαν, Θεράπων, ἔφοδον, νόσων τε καὶ θλίψεων καὶ τὸν φρικώδη σεισμόν, καὶ κινδύνους ἀπέλασον ἀπὸ τῶν τιμώντων, τοὺς σεπτοὺς ἀγῶνας σου, καὶ τὴν ζωήρρυτον Πηγήν, τῶν σεπτῶν σου Ναμάτων, καὶ τὴν καθ' ἡμῶν φερομένην, τοῦ πικροῦ θανάτου στῆσον μάστιγα,

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro



῾Ο Ναός μας...
Τὸ στολίδι καὶ ἡ πνευματικὴ ἑστία τῆς πόλεως τοῦ Ζωγράφου!

www.tezaurliturgic.ro

«Η ΑΚΟΛΟΥΘΙΑ
ΚΑΙ
Ο ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ
ΤΟΥ ΑΓΙΟΥ ΘΕΡΑΠΟΝΤΟΣ»
ΕΞΕΤΥΠΩΘΗ ΤΟ ΠΑΣΧΑ 1967
ΑΠΟ ΤΑΣ ΕΚΔΟΣΕΙΣ «ΤΗΝΟΣ»
(ΒΑΛΣΑΜΩΝΟΣ 6 — ΑΘΗΝΑΙ).
ΕΠΙΜΕΛΕΙΑ ΤΟΥ ΑΡΧΙΜ. ΕΥ-
ΘΥΜΙΟΥ Κ. ΣΤΥΛΙΟΥ, ΠΡΟΪ-
ΣΤΑΜΕΝΟΥ ΤΟΥ Ι. Ν. ΑΓΙΟΥ
ΘΕΡΑΠΟΝΤΟΣ ΖΩΓΡΑΦΟΥ,
ΔΙΑ ΛΟΓΑΡΙΑΣΜΟΝ ΤΟΥ ΕΝ
ΛΟΓΩ ΙΕΡΟΥ ΝΑΟΥ

www.tezaurliturgic.ro